μόνος αὐτῷ συνέμενεν. ὁ δὲ καὶ τοῦτον οὐ μετρίως ἐξύβρισεν· ἐφάνη γὰρ ἐν ἐκείνῳ τῷ χρόνῳ μέγά τι χρῆμα λέοντος ἐν Αἰτωλοῖς, ὃς αὐτούς τε καὶ τὰ θρέμματα διελυμαίνετο. τοῦτον οὖν τῷ Φυλίῳ προσέταξεν ὁ Κύκνος ἄνευ σιδήρου κτεῖναι· κἀκεῖνος ὑπέσχετο καὶ ἀνεῖλε μηχανῇ τοιαυτῇ· εἰδὼς ἥντινα ὥραν ἔμελλεν ὁ λέων ὑπιφοιτήσειν, ἐνέπλησε τὴν γαστέρα πολλῶν σιτίων καὶ οἴνου· κἀπεὶ προσεπέλασεν ὁ θὴρ, ἐξήμεσεν ὁ Φύλιος τὰ σιτία· καὶ ὁ λέων ὑπὸ λιμοῦ τροφῇ ταύτῃ χρησάμενος, ἐχαρακώθη ὑπὸ τοῦ οἴνου· ὁ δὲ Φύλιος περιβαλὼν τὸν βραχίονα τῇ ἐσθῆτι ᾗ ἐφόρει, ἔφραξε τὸ στόμα τοῦ λέοντος· ἀνελὼν δὲ αὐτὸν καὶ ἀναθέμενος ὑπὲ τὸν ὦμον, ἀπήνεγκε πρὸς τὸν κύκνον· καὶ διεβοήθη παρὰ πολλοῖς τῷ κατορθώματι τούτῳ· ὁ δὲ Κύκνος ἕτερον ἆθλον ἐπέταττεν ἀτοπώτερον· ἐγένοντο γὰρ ἐν τῇ γῇ ταύτῃ γῦπες, ὑπερφύες τι καὶ μέγα χρῆμα, καὶ πολλοὺς ἀπεκτίννυον ἀνθρώπους· τούτους ἐκέλευε συλλαβεῖν ζῶντας, καὶ ἀπενεγκεῖν ἔξω πάσῃ μηχανῇ· ἀπροῦντι δὲ τῷ Φυλίῳ πρὸς τὸ ἐπίταγμα, κατὰ θεὸν ἀετὸς ἥρπα γὰρ λαγῳὸν ἡμιθνῆτα κατέβαλε πρὶν ἀπενεγκεῖν εἰς τὰ οἰκεῖα· ὁ δὲ Φύλιος ἀναῤῥήξας τὸν λαγῳὸν καὶ τοῦ αἵματος ἑαυτὸν ἀναπλήσας ὑπὲ τῆς γῆς ἔκειτο· οἱ

ἐκαρώθη. Xyl.

μὴν οὖν ὄρνιθες ὡς τὸν νεκρὸν ὥρμησαν· ὁ δὲ φύλλιος πέσας τὴν σφυρὸν δύο, μὴ καταχὼν ἀπήνεγκεν πρὸς τὸν Κύκνον· ὁ δὲ αὐτῷ τεῖχον ἐπὶ χαλεπώτερον ἆθλον ἐπέταξεν· ἐκέλευε γὰρ ἀπαγαγεῖν ταῦρον ἐκ τῆς ἀγέλης ταῖς χρυσαῖς λαβούσας μέχρι πρὸς τὸν βωμὸν τὸν τοῦ Διός· ὁ δὲ Φύλλιος ἀμηχανῶν, ὅ τι χρήσεται πρὸς τὸ ἐπίταγμα, δύσας συλλαβέσθαι αὐτῷ τὸν Ἡρακλέα· μὴ πρὸς τὴν θυχλὼ ταύτῃ ἐφάνησαν δύο ταῦροι τοῦ μίαν διεργάσασθαι βοῦν, μὴ τοῖς κέρασι τύπτουσθαι ἀλλήλους, καὶ τεθαλθεν εἰς τὴν γῆν· ὁ δὲ Φύλλιος ἐπειδὴ παρεῖδησαν θάτερον ταῦρον ἀναλάμβανε ἐκ τοῦ σκέλους, ἀπήγαγεν ἄχρι πρὸς τὸν βωμὸν· βουλήσει δὲ τοῦ Ἡρακλέους ἀμελῆσαι τὴν ἰδιοπαγμάτων τοῦ παιδὸς· τῷ δὲ Κύκνῳ παρέσχε δῆνον ἀπομαθεῖν παρὰ τὴν δόξαν· ἀθυμήσας δὲ καταβαλεν ἑαυτὸν εἰς τὴν Κωνώπιον λεγομένην λίμνην, καὶ ἠφανίσθη· πρὸς δὲ τὸν θάνατον αὐτοῦ, καὶ Θυρίη ἡ μήτηρ καταβαλεν ἑαυτὴν εἰς τὴν αὐτὴν ἐκείνῳ λίμνην· καὶ ἐγένοντο βυλὴ Ἀπόλλωνος ὄρνιθες ἀμφότεροι ἐν λίμνῃ· ἀφανισθέντων δὲ καὶ ἡ λίμνη μετωνομάσθη, καὶ ἐγένετο κυκνεία, καὶ πολλοὶ ἐν τῇ ὥρᾳ τοῦ αὐτοῦ θανάτου φαίνονται κύκνοι· πολισίον δὲ κεῖται καὶ τὸ τοῦ Φυλίου σῆμα.

Ἀπαλίς. ιγ'.

Ἰσχυὸς, ὃν Διὸς καὶ νύμφης ὀθρηίδος ἐγένετο παῖς Μελιτεὺς·

Ἰσχυὸς, ὃν Νίκανδρος ἱστορεῖ μίνυαν β'.

τοῦς· τοῦτον ἡ μήτηρ ἐξέθηκεν εἰς τὴν ὕλην κ᾽ δὲ Ἥρας, ὅτι αὐτῇ Ζεὺς ἐμίχθη· ὁ δὲ παῖς Διὸς βουλῇ ἀνεφανίσθη, ἀλλ᾽ ἤνεγκε τρεφόμενος ὑπὸ μελισσῶν· ἀνέτυχε δὲ αὐτῷ ποιμαίνων πρόβατα, Φλύγρος ὁ Ἀπόλλωνος καὶ ὀθρηΐδος νύμφης, ἥτις ἔτεκε Μελιτέα τὴν ἐν τῇ ὕλῃ παῖδα· θαυμάσας δὲ πρὸς τὸ ἄγκυρον τοῦ σώματος καὶ ἔτι τολεῖον πρὸς τὰς μελίσσας, ἀνείλετο καὶ ἀπήνεγκεν εἰς τὰ οἰκία, καὶ ἔτρεφεν ἐν τῷ Μαιδῇ, ἔθηκε δὲ αὐτῷ Μελιτέα ὄνομα, διότι ὑπὸ μελισσῶν ἐτράφη· ὑπῆλθεν αὐτὸν καὶ ὁ χρησμός, ἐν ᾧ ποτε θεὸς εἶπε σώζειν ὁμόγνιον ὄντα τὸν ὑπὸ τῶν μελισσῶν τρεφόμενον. Ὁ δὲ παῖς ἐπεὶ τάχιστα ἠνδρώθη, ἀνὴρ ἐγένετο γενναῖος, καὶ τολεῖστον ἦρξε πολιοίκου· καὶ τόλιν ἔκτισεν ἐν τῇ Φθίᾳ προσαμορβύσας μελίττῃ· ἐν ταύτῃ τῇ μελίττῃ τύραννος ἐγένετο βίαιος καὶ ὑβριστής· ὃν οἱ μὲν ἰδιῶται ἀδ᾽ ὀνομάζουσι, ὑπὸ δὲ τῶν ξένων τάφος ἐκαλεῖτο. ὅτος εἴπερ δικαιοσύνη τῇ θείῃ καὶ μᾶλλον τῇ ἐγχωρίῳ, ἀπῆγεν αὐτῷ ἐμίγνυτο πρὸ γάμου καὶ κατὰ βίαν. τότε δ᾽ οὕτω ἔρκτο πρὸς τὸν Ἥραπας ἀπάγειν Ἀσωπαλίδα τὴν θυγατέρα τὴν Ἀργαίου τοῦ δικαιοσύνου· ἡ δὲ παῖς ὡς ἔκπυστος ὁ λόγος ἐγένετο, πολὺν ἀφικέσθαι τὸν ἀπάξοντας ἀνήρτησεν ἑαυτήν· τὸν δὲ πράξεως ὅπως διαφθείσης ἀδελφὸς ὁ τοῦ Ἀσωπαλίδος Ἀσυγίτης ὤμοσεν,

ὅτι πρότερον τίσεται τὸν τύραννον, ἢ τὸ σῶμα καθαιρήσει τὸ τῆς ἀδελφῆς· ἐνδὺς δὲ τάχιστα τῇ στολῇ τῆς Ἀσπαλίδος, καὶ κρύψας παρὰ τῇ εὐώνυμον πλευρὰν τὸ ξίφος, ἔλαθε πρὸς τὴν ὄψιν ἀντίπαις ὤν· παρελθὼν δὲ εἰς τὰ οἰκία, γυμνὸν ὄντα καὶ ἀφύλακτον τὸν τύραννον, κτείνει· οἱ δὲ μελιτεῖς τὸν μὲν Ἀστυγίτην ἐστεφάνουν, καὶ μετὰ παιαίνων προέπεμπον· τὸ δὲ σῶμα τοῦ τυράννου κατεπόντωσαν, εἰς ποταμὸν ἐμβαλόντες, ὃν ἔτι νῦν ἐξ ἐκείνου τοῦ χρόνου τάρταρον καλοῦσι· τὸ δὲ σῶμα τὸ τῆς Ἀσπαλίδος ἐξερευνῶντες πάντα τρόπον ὅπως κηδεύσωσιν ἀνθισήμως, οὐκ ἠδυνήθησαν εὑρεῖν· ἀλλὰ τοῦτο μὴ ἠφανίσθη κατὰ θεόν· ἀντὶ δὲ τοῦ σώματος ἐφάνη ξόανον παρὰ τὸ τῆς Ἀρτέμιδος ἑστηκός· ὀνομάζεται δὲ παρὰ τοῖς ἐγχωρίοις τοῦτο τὸ ξόανον ἀσπαλὶς ἀμειλήτη ἑκαέργη, ᾧ καθ' ἕκαστον ἔτος αἱ παρθένοι χίμαρον ἄθορον ἐκρήμνων, ὅτι καὶ ἡ Ἀσπαλὶς παρθένος οὖσα, ἑαυτὴν ἀπηγχόνισεν·

Μούνικος. ιδ'. Μούνιχος ὁ Δρύαντος ἐβασίλευσε Μολοσσῶν, καὶ ἐγένετο μάντις ἀγαθὸς, καὶ ἀνὴρ δίκαιος· ἔσχεν δὲ παῖδας ἐκ Ληλάντης· Ἄλκανδρον ἀμείνονα μάντιν ἑαυτοῦ καὶ Μεγαλύτορα, καὶ Φίλαιον· καὶ θυγατέρα Ὑπερίππην· τούτους γενομένους πάντας ἀγαθοὺς καὶ δικαίους ἐφίλησαν οἱ θεοί. Ἐπεὶ δὲ αὐτοὺς τῶν ἀγρῶν νυκτὸς ἐπελ-

ἐπελθόντες λῃσαὶ συνελαμβανον· οἱ δ' ἐκ τῶν πύργων ἔβαλλον· ὃ γὰρ ἦεν αὐτοῖς ἰσόμαχοι, πῦρ ὀνέβαλλον οἱ κλῶπες εἰς τὰ οἰκία. Ζεὺς δ' ὃ πολιεῦδεν αὐτὸς ὁσιότητος ἕνεκα, τελευτήσαντας οἰκτίσῳ θανάτῳ· μετέβαλε δὲ πάντας εἰς ὄρνιθας. καὶ ὑπολίπτη μὲν ἐπεὶ φυγοῦσα τὸ πῦρ εἰς ὕδωρ κατέδυ, γέγονεν αἴθυια, οἱ δ' ἄλλοι ἐκ τοῦ πυρὸς ἀνέπτησαν· Μύνιχος μὲν τειόρχης γενόμενος· Ἄλκανδρος δὲ ὀρχίλος· Μεγαλήτωρ δ' καὶ Φιλαῖος, ὅτι τὸ πῦρ φύγοντες διὰ τοῦ τοίχου πρὸ τῶν γλῶν ἔδυσαν, ἐγένοντο μικροὶ δύο ὄρνιθες. καί ἐστιν ὁ μὲν αὐτῶν ἰχνεύμων· Φιλαῖος δ' ὀνομάζεται, κύων· ἡ δὲ μήτηρ αὐτῶν ἐγένετο κνιπολόγος πίπω· πρὸς ταύτην ἀεθλῶ πόλεμός ἐστι καὶ ἔρις δι' ὧ· κατάγνυσι γὰρ αὐτῶν τὰ ᾠά, κόπτουσα τὴν ὁρῶν διὰ τοῦ κνίπας· καί εἰσιν οἱ μὲν ἄλλοι σώμασι μὲν ὕλῃ καὶ πρὸς κυνηγέσιον· αἴθυια δὲ ἐγένετο πρὸς λίμνας τε καὶ θαλάσσῃ.

Εὐμήλου τοῦ Μέροπος ἐγένοντο παῖδες ὑπερύφανοι καὶ ὑβρισταὶ· Βύσσα καὶ Μόροψις καὶ Ἄγρων· καὶ ᾤκουν Κρήτῃ Μόροψα νῆσον· ἣ δὴ πολῖται αὐτοῖς ἐξέφερε καρπούς, ὅτι μόνων θεῶν ἐπίμονοι, καὶ ἀθεμελῶς αὐτῶν ἠρχάζοντο· ἔβοι ἀνθρώπων οὐδενὶ συνήλθον, οὔτε εἰς ἄστυ καπόντες, οὔτε πρὸς ἁλωπίνας καὶ θεῶν Μεροπίς. ιέ.

ἑορτὰς. Ἀλλ' ἐ μὴ Ἀθηνᾶ τις ἱερὰ ποιῶν ἐκώλεσεν τὰς κόρας· ἀπέλεγεν ὁ ἀδελφὸς τῇ κλήσιν· ὃ δ' ἀγαπᾶν ἔφη γλαυκῶπιν θεόν, ὅτι ταῖς αὐταῖς κόραις ὀφθαλμὸς αὐτῇ μέλας· ἐχθαίρειν δ' πᾶσαν γλαῦκα τὸν ὄρνιν. εἰ δὲ καλῷεν παρὰ τὴν Ἄρτεμιν, νυκτίφοιτον ἔλεγε μισεῖν θεόν· εἰ δὲ πρὸς Ἑρμῆν σπουδάς, κλέπτην ἔλεγεν ὁ τιμᾶν θεόν· ☾ οἱ μὴ πολῳστάκις ἐκερτόμουν. Ἑρμῆς δὲ ☾ Ἀθηνᾶ καὶ Ἄρτεμις χολούμενοι νυκτὸς ἐπέστησαν αὐτῇ ζῆς οἴκοις· Ἀθηνᾶ μὴ ἡ Ἄρτεμις ἐοικυῖαι κόραις· Ἑρμῆς δὲ ποιμένος ἔχων πολιὸν ἡ τὸ βύμηλον ἡ τὸ ἄγρωνα πόσα γοργοβύσας παρεκάλφ παραπυχεῖν εἰς σκότα· δισδόναι γὰρ ἱερὰ μετὰ τῶν ἄλλων ποιμένων Ἑρμῆ. Βύασαν ὃ ἡ Μεροπίδα πρὸς τὰς ὁμήλικας ἔπειθον ἐμπέμπειν εἰς δ' τὸ Ἀθηνᾶς ἡ Ἀρτέμιδος ἄλσος, ☾ ταῦτα μὴ εἶπεν Ἑρμῆς. Μεροπὶς δ' ὡς ἤκουσεν ἐξύβρισε πρὸς τὸ ὄνομα τὸ Ἀθηνᾶς· ἡ δὲ αὐτὴν ἐποίησεν ὀρνίθιον γλαῦκα· Βύασα δὲ τῷ αὐτῷ ὀνόματι λέγεται, καί ὅτι λευκοθέας ὄρνις. Ἄγρων δ' ὡς ἐπύθετο ἁρπάσας ὀβελὸν ἐξέδραμεν· Ἑρμῆς δ' αὐτὸν ἐφίησι χαράδριον· Εὔμηλος δὲ τὸν Ἑρμῆν ἐνέκλεισεν, ὅτι μετεμέλοντο φῶσαν αὐτὸν δ' ὑὸν· ὁ δὲ κἀκεῖνον ἐποίησε νυκτικόραικα κακάγγελον.

Οἰνόη. ιε'.

Ἱστορεῖ βοιωτῶν ἀρχαιολογίας β'.

Γαρὰ τοῖς λεγομένοις ἀνθρώποις πυγμαίοις ἐγένετο

ἐγένετο παῖς ὄνομα Οἰνόη, ἡ μὲν εἶδος ἀμήχανη, ἄχαρις δὲ τὸ ἦθος καὶ ὑπερήφανος· ταύτης φροντὶς ἀδεμία ἐγένετο τῇ Ἀρτέμιδος ἀδὲ Ἥρας· γαμηθεῖσα δὲ Νικοδάμαντι τῷ πολίτῃ ἐνὶ μετείῳ ἰδίῃ ἔτεκε παῖδα Μόψον· καὶ αὐτῇ πυγμαῖοι πάντες κὴ φιλοφρόνως ἐπέσα δῶρα πρὸς τὴν γένεσιν τῆς παιδὸς ἀπήνεγκαν. Ἥρα δὲ μεμφθεῖσα τὴν Οἰνόην, ὅτι αὐτὴν ἀνετίμα, γέρανον αὐτὴν ἐφύτευσεν, καὶ δὴ αὐχένα μακρὸν ἔλκυσε· καὶ ἀπέδυσεν ὑψιπετῆ ὄρνιθα· καὶ πόλεμον ἐνέβαλεν αὐτῇ τε καὶ τοῖς πυγμαίοις· Οἰνόη δὲ ἀλγοῦσα τὸν πόνον τῆς παιδὸς Μόψου, πολιορκέτο τὰ οἰκία, καὶ δὴ ἐξελίμπανε· Πυγμαῖοι δὲ καθοπλισάμενοι πάντες, ἐδίωκον αὐτὴν· καὶ ἐν τούτῳ ἔτι καὶ νῦν πυγμαίοις καὶ γεράνοις πόλεμος ἀνέστηκε.

Γαλάτεια ἡ Εὐρυπίου τοῦ σαρτωνος ἐγέ- Λευκ. π. μετο δὲ φασὶ τῆς Κρήτης λάμπρῳ τῷ γαν- πος. ιξ'. δίου· καὶ δὴ τὰ μὲν εἰς γένος οὐκ ἔχοντι, βίου Ἱστορεῖ Νίκαν- δὲ ἀνδρεῖᾳ· οὗτος ἐπειδὴ ἐγκύμονα ἦν ἡ Γαλά- δρος ἐτεροιο- τεια, ἤυξατο μὲν ἄῤῥενα γενέσθαι αὐτῷ παῖ- μένων β'. δα· πεσηγόρευε δὲ τῇ γυναικὶ, ἐὰν γεννήσῃ κόρην ἀφανίσαι· καὶ οὕτως μὲν ἀπώλετο· ἐποίμαινεν τὰ πρόβατα, τῇ δὲ Γαλατείᾳ θυγάτηρ ἐγένετο, καὶ καποικτείρασα τὸ βρέφος, καὶ τὴν ἐρημίαν τοῦ οἴκου λογισαμένη, συλ-

λαμβανόντων δ' ἔτι καὶ τῶν ὀνείρων καὶ τῶν μάντεων, οἱ προηγόρευον τὴν κόρην ὡς κόρον ἐκτρέφειν, ἐψεύσατο τὸν Λάμπρον ἄῤῥεν λέγουσα τεκεῖν, καὶ ἐξέτρεφεν ὡς παῖδα κοῦρον ὀνομαίσασα Λεύκιππον· ἐπεὶ δὲ ἤυξετο ἡ κόρη, καὶ ἐγένετο ἄφατόν τι κάλλος, δείσασα τὸν λάμπρον ἡ Γαλάτεια, ὡς οὐκ ἐνῆν ἔτι λαθεῖν, κατέφυγεν εἰς τὸ τῆς Λητοῦς ἱερὸν, καὶ πλεῖστα τὴν θεὸν ἱκέτευσεν, εἴπως αὐτῇ κόρος ἡ παῖς ἀντὶ τῆς θυγατρὸς δυνάιτο γενέσθαι, καθάπερ ὅτε Καινὶς μὲν Ἄτρακος οὖσα θυγάτηρ, βουλῇ Ποσειδῶνος ἐγένετο καινεὺς ὁ λαπίθης. Τειρεσίας δὲ γυνὴ μὲν ἐξ ἀνδρὸς, ὅτι τοὺς ἐν τῇ τριόδῳ μιγνυμένους ὄφεις ἐντυχὼν, ἀπέκτεινεν, ἐκ δὲ γυναικὸς αὖτις ἀνὴρ ἐγένετο διὰ τὸ δράκοντα πολλάκις· πάνακτα δὲ ὁ ὑπερμήστραν πιπρασκομένην ἰνδὶ γυναικὶ μὲν αἴρασθαι τιμον· ἄνδρα δὲ γενομένην αἴθωνι τροφὴν ἀπεφέρειν τῷ πατρὶ· μεταβαλεῖν δὲ καὶ τὸν κρῆτα σιπροίτην, ὅτι κυνηγετῶν λουομένην ἴδεν τὴν Ἄρτεμιν· ἡ δὲ Λητὼ συνεχῶς ὀδυρομένην καὶ ἱκετεύουσαν ᾤκτειρε τὴν Γαλάτειαν, καὶ μετέβαλε τὴν φύσιν τῆς παιδὸς εἰς κόρον· ταύτης ἔτι μέμνηνται τῆς μεταβολῆς Φαίστιοι· ὁ θύουσι Φυτίῃ Λητοῖ, ἥτις ἔφυσε μήδεα τῇ κόρῃ, καὶ τὴν ἑορτὴν ἐκδύσια καλοῦσιν· ἐπεὶ τὸν πέπλον ἡ

παῖς

παῖς ἐξέδυ· νόμιμον δ' ἐστὶν ἐν τοῖς γάμοις πρότερον παρακλίνασθαι παρὰ τὸ ἄγαλμα τοῦ Λευκίππου.

Εὔμηλος ~~ὁ παῖς~~ ὁ Εὐγνώτου κατῴκησεν ἐν Θήβαις ταῖς Βοιωτίαις, καὶ αὐτῷ παῖς ἐγένετο Βότρης ὄνομα· οὗτος ὁ Εὔμηλος ἐτίμα μεγαλομερῶς τὸν Ἀπόλλωνα· καί ποτε θύοντος αὐτοῦ πρὼν ὁ παῖς Βότρης ἐδαίσατο τὸν ἐγκέφαλον τοῦ ἀρνὸς πρὶν ἰδὶ τὸν βωμὸν καταθῦσαι· μαθὼν δὲ τὸ γεγονὸς Εὔμηλος προέκρουσε κατ' ὀργὴν πρὸς τὴν κεφαλὴν αὐτοῦ τὸν δαλὸν ἀφελὼν ἐκ τοῦ βωμοῦ. καὶ ὁ παῖς καταρυέντος τοῦ αἵματος, κατα πεσὼν ἤσπαιρεν· ἡ δὲ μήτηρ ὡς ἴδεν καὶ ὁ πατὴρ καὶ οἱ θέραπες, μέγιστον ἐποιήσαντο πένθος· Ἀπόλλων δὲ οἰκτείρας ἐπεὶ αὐτὸν Εὔμηλος ἐτίμα, ὄρνιθα ἐποίησε τὸν παῖδα ἠέροπον, ὃς ἔτι νῦν τίκτει μὲν ὑπὸ γῆς, ἀιεὶ δὲ μελετᾷ πέτεσθαι.

Ἠέροπος. ιη'. Ἱστορεῖ Βοῖος ὀρνιθογονίας β'.

Ἐν Κρήτῃ λέγεται εἶναι ἱερὸν ἄντρον μελισσῶν, ἐν ᾧ μυθολογοῦσι τεκεῖν Ρέαν τὸν Δία, καί ἐστιν ὅσιον οὐδένα παρελθεῖν οὔτε θεὸν, οὔτε θνητὸν· ἐν δὲ χρόνῳ ἀφωρισμένῳ ὁρᾶται καθ' ἕκαστον ἔτος, πλείστον ἐκλάμπον ἐκ τοῦ πηλαίου πῦρ. τοῦτο δὲ γίνεσθαι μυθολογοῦσιν, ὅτ' ἂν ἐκζέῃ τὸ τοῦ Διὸς ἐκ τῆς γενέσεως αἷμα· κατέχουσι δὲ τὸ ἄντρον ἱεραὶ μέλιτται τροφοὶ τοῦ Διός.

Φῶρες. ιθ'. Ἱστορεῖ Βοῖος ὀρνιθογονίας β'.

Εἰς τοῦ τὸ παρελθεῖν ἐθάῤῥησαν Λαΐος, καὶ Κελεός, καὶ Κέρβερος, καὶ Αἰχολιός, ὅπως πλεῖστον ἀρύσωνται μέλι· καὶ περιθέμενοι περὶ τὸ σῶμα πάντῃ χαλκόν, ἀρύσαντο τοῦ μέλιτος τῶν μελισσῶν· καὶ τὰ τοῦ Διὸς ἴδον σπάργανα, καὶ αὐτῶν ὁ χαλκὸς ἐῤῥάγη περὶ τοῦ σῶμα· Ζεὺς δὲ βροντήσας ἀνέτεινε τὸν κεραυνόν· μοῖραι δὲ καὶ θέμις ἐκώλυσαν· οὐ γὰρ ἦν ὅσιον αὐτόθι θανεῖν οὐδένα· καὶ ὁ Ζεὺς πάντας αὐτοὺς ἐποίησαν ὄρνιθας· καί ἐστιν ἐξ αὐτῶν τὸ γένος τῶν οἰωνῶν λαΐοι καὶ κελοιοὶ καὶ κέρβεροι, καὶ αἰχολιοί· καί εἰσιν ἀγαθοὶ φανέντες, καὶ ὑπιτελεῖς παρὰ τοὺς ἄλλους ὄρνιθας, ὅτι τοῦ Διὸς ἴδον τὸ αἷμα.

Κλεῖνις. κ'. Ἱστορεῖ Βοῖος β', καὶ Σιμμίας ὁ Ῥόδιος Ἀπόλλων.

Τῆς λεγομένης Μεσοποταμίας περὶ Βαβυλῶνα πόλιν, ᾤκησεν ἀνὴρ θεοφιλὴς καὶ πλούσιος ὄνομα Κλεῖνις, ἔχων πολλοὺς βοῦς καὶ ὄνους, καὶ πρόβατα, τοῦτον ἐκτόπως ἐφίλησεν Ἀπόλλων καὶ Ἄρτεμις, καὶ πλειστάκις ὁμοῦ τοῖς θεοῖς τούτοις ἀφίκετο πρὸς τὸν ναὸν τοῦ Ἀπόλλωνος τοῦ ἐν ὑπερβορέοις, καὶ ἴδεν ἱερουργουμένας αὐτῷ τὰς θυσίας τῶν ὄνων· παραγενόμενος δὲ εἰς Βαβυλῶνα, καὶ αὐτὸς ἐβούλετο καθάπερ ἐν ὑπερβορέοις ἱερεύειν τῷ θεῷ, καὶ τὴν ἑκατόμβην τῶν ὄνων ἔστησεν παρὰ τὸν βωμόν· Ἀπόλλων δὲ παραγενόμενος ἠπείλησεν ἀχρεκτενεῖν αὐτόν, εἰ μὴ παύσατο τοῦ θυσίας ταύτης· καὶ κατὰ τὸ σύνηθες αἶγας αὐτῷ καὶ

πρόβα-

πρόβατα καὶ βοῦς ἱερεύσει· τὴν γὰρ τῶν ὄνων θυσίαν ἐν ὑπερβορέοις ἀγομένην αὐτῷ καθ' ἡδονὴν εἶναι· καὶ ὁ Κλεῖνις δείσας τὴν ἀπειλὴν, ἀπῆγεν ἀπὸ τοῦ βωμοῦ τοὺς ὄνους· καὶ τὸν λόγον ὃν ἤκουσεν ἐξέφερεν πρὸς τοὺς παῖδας· Ἦσαν δὲ αὐτῷ παῖδες Λύκιος καὶ Ὀρτύγιος, καὶ Ἅρπασος, καὶ θυγάτηρ Ἀρτεμίχη, παῖδες ἐκ μητρὸς Ἅρπης· Λύκιος μὲν οὖν καὶ Ἅρπασος ἀκούσαντες, ἐκέλευον ἱερεύειν τοὺς ὄνους, καὶ τέρπεσθαι τῇ ἑορτῇ· Ὀρτύγιος δὲ καὶ Ἀρτεμίχη πείθεσθαι τ' ἀπόλλωνι προσέτασσον· καὶ πὶ τούτοις ὁ Κλεῖνις ἐπείθετο μᾶλλον. Ἅρπασος δὲ καὶ Λύκιος κατὰ βίαν ἐκλύσαντες τῶν δεσμῶν τοὺς ὄνους ἀπήλαυνον παρὰ τὸν βωμὸν, καὶ ὁ θεὸς ἐνέβαλεν τοῖς ὄνοις λύσσαν· οἱ δὲ τούστε παῖδας καὶ τοὺς θεράπας αὐτῶν καὶ τὸν κλεῖνιν κατήσθιον· οἱ δὲ ἀπολλύμενοι τοὺς θεοὺς ἐπεβοῶντο· καὶ Ἅρπην μὲν καὶ Ἅρπασον ᾤκτειρε Ποσειδὼν, καὶ ἐποίησεν αὐτοὺς ὄρνιθας, τῷ αὐτῷ λεγομένους ὀνόματι· Λητὼ δὲ καὶ Ἄρτεμις ἔγνωσαν ἀνάσωσαι τὸν Κλεῖνιν, καὶ τὴν Ἀρτεμίχην, καὶ τὸν Ὀρτύγιον, ὅτι οὐκ αἴτιοι τῶν ἀσεβημάτων ἦσαν· Ἀπόλλων δὲ Λητοῖ καὶ Ἀρτέμιδι δίδωσι τὴν χάριν· καὶ πρόσθεν ἢ ἀπὸ θανεῖν μεταβαλὼν ἐποίησεν πάντας ὄρνιθας· καὶ ἐγένετο Κλεῖνις μὲν ὑψιαίετος· οὗτος ἐστὶ δεύτερος ὀρνίθων μετὰ τὸν αἰετὸν,

διαγνῶναι

διαγνῶναι δ' οὐ χαλεπὸς· ὁ μὲν γὰρ ἐστι νεβρο-
φόνος ἐρεμνὸς, μέγας τε ὃ ἄλκιμος· ὁ δ' ἀε-
τὸς μελάντερος, καὶ ἐλάσσων ἐκείνου. Λύκιος
δὲ μεταβαλὼν ἐγένετο κόραξ τὸ χρῶμα λευκὸς·
αὖτις δὲ βουλῇ Ἀπόλλωνος ἐγένετο κυάνεος, ὅτι
πρῶτος ἤγγειλε κορωνίδα τὴν Φλεγύου θυ-
γατέρα γαμηθεῖσαν Ἀλκυονεῖ· Ἀρτεμίχη δ'
ἐγένετο πίφιγξ, θεοῖς τε καὶ ἀνθρώποις προσ-
φιλὴς ὄρνις· Ὀρτύγιος δὲ αἰγίθαλλος, ὅτι τὸν
πατέρα Κλεῖνιν ἀνέπειθεν αἶγας ἀντὶ τῶν ὄνων
ἱερεύειν Ἀπόλλωνι.

Πολυφόν-
τη. κα'.
Ἱστορεῖ Βοῖος ὀρ-
νιθογονίας β'.

Τερείνης τῆς Στρυμόνος καὶ Ἄρεως ἐγένετο
θυγάτηρ Θρᾷσσα· ταύτην δ' ἔγημεν Ἱππόνους
ὁ Τριβαλλοῦ παῖς, καὶ αὐτοῖς ἐγένετο θυγά-
τηρ ὄνομα Πολυφόντη· αὕτη τὰ μὲν ἔργα τῆς
ἀφροδίτης ἐξύβρισεν. ἐλθοῦσα δ' εἰς τὸ ὄρος
Ἀρτέμιδος ἐγένετο συμπαίκτρια καὶ συνήθης.
Ἀφροδίτη δὲ ὅτι αὐτῆς ἠτίμασε τὰ ἔργα, ἔρωτα
ἐνέβαλεν ἄρκτου, καὶ ἐξέμηνεν αὐτὴν· ἡ δὲ κατὰ
δαίμονα οἰστρήσασα, ἐμίγνυτο τῇ ἄρκτῳ, καὶ
αὐτὴν ἡ Ἄρτεμις ἰδοῦσα, ἐκτόπως ἐμίσησεν, καὶ
πάντα εἰς αὐτὴν ἔτρεψε τὰ θηρία· Πολυφόν-
τη δὲ δείσασα μὴ θῆρες αὐτὴν διεργάσωνται.
Φεύγουσα ἐξίκετο εἰς τὰ οἰκία τοῦ πατρὸς, καὶ
ἔτεκε δύο παῖδας Ἄγριον καὶ Ὄρειον, μεγίστους
καὶ δυνάμιν ἔχοντας ἄπλετον. Οὗτοι ἐτίμων

οὔτε

ὅτε θεὸν, ὅτε ἄνθρωπον, ἀλλ' ἐξύβριζον εἰς πάντας· καὶ ἐπὶ τῷ ξενίων ἀτύχησιν, ἀπάγοντος εἰς τὰ οἰκία κατήφιον Ζεὺς ὑπὸ μισήσας αὐτὸς, ἀπέστειλεν Ἑρμῆν, ὅπως λιὼν ἐθέλῃ δίκην αὐτοῖς ἐπιβαλεῖν· καὶ ὁ μὲν Ἑρμῆς εἰσῆλθεν ἀφικόμενος τὰς θύρας αὐτῆς τῆς χεῖρας· Ἄρης δ' ἐπεὶ τὸ γένος εἰς αὐτὸν ἀνέφερε Πολυφόντην, τότε μὴ ἐξέλεσθαι τὸν μόρον τοὺς παῖδας· ἤλλαξε δὲ μιχθεὶς Ἑρμοῦ τὴν φύσιν αὐτῶν εἰς ὄρνιθας· ἐκ μὲν Πολυφόντην μὲν συῆς φθεγγομένην νυκτὸς, ἀτρὸν σίβυν καὶ τοτοῖ, τῆς κεφαλῆς ἔχουσα κάτω, τοὺς δὲ τόδας ἄκρους ἄνω, πολέμου στάσεως ἀνθρώποις ἄγγελος. Ὄρφνος δ' ἐγένετο λαγὼς, ὄρνις ἐπ' ὀδοὶ φαινόμενος ἀγαθῷ· Ἄγριος δὲ μετέβαλεν εἰς γύπα, πάντων ὀρνίθων ἔθνισον θεοῖς τε καὶ ἀνθρώποις· καὶ δὴ πάντας ἴμβρον αὐτῶν κρέως καὶ αἵματος ἐνέβαλον ἀνθρωπείου· τῆς θεράπαιναν αὐτῶν ἐποίησαν ἵππην· ἣ δὲ μεταβάλλουσα τὴν φύσιν, ἤνεγκε θεοῖς, μὴ κακὸς ὄρνις ἀνθρώποις γένηται. καὶ αὐτῆς ὑπήκουσαν Ἑρμῆς καὶ Ἄρης, ἐπεὶ κατ' ἀνάγκας ἔδρασεν, ἃ προσέταττον οἱ δεσπόται, καί ἐστιν ἀγαθὸς ἔθος ὁ ὄρνις ὠδὴ δηλῶν ἰόντι καὶ δαῖτα.

Τέραμβος.
κβ'.

Τέραμβος Εὐσείρου τοῦ ποσειδῶνος Εἰδοθέας νύμφης Ὀθρηίδος, ᾠκησεν τὴν γῆν τὴν Μιλήτου πρὸ

Ἱστορεῖ Νίκανδρος ἐν ἀ. ἑτεροιουμένων.

πρὰ τὴν ὑπώρειαν τῆς Ὄθρυος· ἐγένετο δὲ αὐτῷ θρέμματα πλεῖστα, καὶ αὐτὰ ἐπίμαινεν αὐτὸς· νύμφαι δὲ συνελάμβανον αὐτῷ, διότι αὐτὰς ἐν τοῖς ὄρεσιν ᾄδων ἔτερπεν· λέγεται γὰρ μουσικώτατος τῶν τότε γενέσθαι, καὶ ὑπὸ βουκολικοῖς ᾄσμασι διαβοηθῆναι, καὶ σύριγγα ποιμενικὴν ἐν τοῖς ὄρεσι συνθεῖναι· καὶ λύρᾳ πρῶτος ἀνθρώπων κεχρῆσθαι, πλεῖστά τε καὶ κάλλιστα μέλη ποιῆσαι· τούτων οὖν χάριν λέγουσιν ὀφθῆναι αὐτῷ ποτε νύμφας, καὶ χορεῦσαι πρὸς τὰ κρούματα τοῦ Τεράμβου· Γᾶνα δὲ τοῦτο κατ' εὐμένειαν αὐτῷ παραγγεῖλαι, καταλιπόντι τὴν Ὄθρυν ἐν τῷ πεδίῳ τὰ πρόβατα ποιμαίνειν· ἐξαίσιον γάρ τι καὶ ἄπιστον χρῆμα χειμῶνος ἐπεῖναι μέλειν· Ὁ δὲ Τεράμβος ὑπὸ μεγαλαυχίας ἐκ νεότητος οἷα θεοβλαβὴς, ἀπελαύνειν μὲν ἐκ τῆς Ὄθρυος εἰς τὸ πεδίον οὐκ ἐγίγνωσκεν· ἀπέῤῥιψεν δὲ λόγον ἄχαρίν τε καὶ ἀνόητον εἰς τὰς νύμφας, ὅτι γένος μέν εἰσιν οὐκ ἀπὸ Διὸς, ἀλλ' ἔτεκεν αὐτὰς ἡ Δεῖνα τοῦ σπερχειοῦ. Ποσειδῶν δὲ πόθῳ μιᾶς αὐτῶν Διοπάτρης τὰς ἀδελφὰς ἐῤῥίζωσε, καὶ ἐποίησεν αἰγείρους, ἄχρι αὐτὸς κορεσθεὶς τῆς εὐνῆς ἀνέλυσε, καὶ πάλιν αὐταῖς ἀπέδωκε τὴν ἐξ ἀρχῆς φύσιν· τοιαῦτα μὲν ὁ Τεράμβος ἐκερτόμησεν εἰς τὰς νύμφας. Μετὰ δὲ χρόνον ὀλίγον ἐξαίφνης ἐγένετο κρυμὸς

μὸς, καὶ ἐπάγησαν αἱ χαραδραι, καὶ πολλὴ κατέπεσε χιὼν, καὶ τὰ ποίμνια τοῦ Τεραμβου σὺν αὐταῖς ἀτραποῖς καὶ δένδρεσιν ἠφανίσθη· νύμφαι δὲ μετέβαλον κατ' ὀργὴν τὸν Τέραμβον, ὅτι αὐταῖς ἐλοιδόρησε, καὶ ἐγένετο † ὑλοφάγος κεράμβυξ. Φαίνεται δὲ ὑπὸ τῶν ξύλων, καί ἐστιν ἀγκύλος ἐκ τῶν ὀδόντων, καὶ συνεχῶς τὰ γένεια κινεῖν, μέλας, πραμήκης, πτέρυγας στερεὰς ἔχων, ἐοικὸς τοῖς μεγάλοις κανθάροις· οὗτος ξυλοφαγος βοῦς καλεῖται· πρὰ δὲ Θετταλοῖς κεράμβυξ· τοῦτον οἱ παῖδες παίγνιον ἔχουσι, καὶ τὴν κεφαλὴν ἀποτέμνοντες, φέρουσιν· ἡ δὲ ἔοικε σὺν τοῖς κέρασι λύρᾳ τῇ ἐκ τῆς χελώνης.

fortè, ξυλοφάγος.

Βάττος. κγ'.

Ἄργου τοῦ Φείξου, ⓒ Περιμήλης τῆς Ἀδμήτου θυγατρὸς ἐγένετο Μάγνης· οὗτος ᾤκησεν ἐγγὺς Θεσσαλίας, ⓒ τὴν γῆν ταύτην ἀπ' αὐτοῦ Μαγνησίαν προσηγόρευσαν οἱ ἄνθρωποι· ἐγένετο δ' αὐτῷ παῖς περίβλεπτος τὴν ὄψιν, Ὑμέναιος· ἐπεὶ δὲ Ἀπόλλων ἀϊδόντα ἔρως ἔλαβε τοῦ παιδὸς, καὶ οὐκ ἐξελίμπανε τὰ οἰκία τοῦ Μαγνητος, Ἑρμῆς ὑπιβουλεύει τῇ ἀγέλῃ τῶν βοῶν τοῦ Ἀπολλωνος. αἱ δὲ ἐνέμοντο ἵνα περ ἦσαν αἱ Ἀδμήτου βόες· καὶ πρῶτα μὲν ἐμβάλλει ταῖς κυσὶν, αἱ ἐφύλαττον αὐτὰς, λήθαργον ⓒ κυνάγχην, αἱ δὲ ἐξελάθοντο τῶν βοῶν καὶ τῆς φυλακὴν

Ἱστορεῖ Νίκανδρος ἑτεροιουμένων α', καὶ Ἡσίοδος ἐν μεγάλαις Ἠοίαις, καὶ Διδύμαρχος μεταμορφώσεων γ', καὶ Ἀντίγονος ἐν ταῖς ἀλλοιώσεσι, καὶ Ἀπολλώνιος ὁ Ῥόδιος ἐν Ἐπιγράμμασιν, ὥς φησι Πάμφιλος ἐν κ'.

ἀπώ-

ἀπώλεσαν· εἶτα δ' ἀπελαύνει πόρτιας δώδε-
κα· καὶ ἑκατὸν βοῦς ἄζυγας, καὶ ταῦρον, ὃς ταῖς
βουσὶν ἐπέβαινεν· ἐξῆπτε δὲ ἐκ τῆς οὐρᾶς πρὸς
ἕκαστον ὕλην, ὡς ἂν τὰ ἴχνη τῶν βοῶν ἀφανίσῃ·
καὶ ἦγεν αὐτὰς ἐλαύνων διά τε πελάσσων, καὶ
δι' Ἀχαΐας τῆς Φθιώτιδος, καὶ διὰ Λοκρίδος,
καὶ Βοιωτίας, καὶ Μεγαρίδος· καὶ ἐντεῦθεν
εἰς Πελοπόννησον διὰ Κορίνθου καὶ Λαρίσσης ἄχρι
Τεγέας. καὶ ἐντεῦθεν παρὰ τὸ λύκαιον ὄρος ἐπο-
ρεύετο, καὶ παρὰ τὸ Μαιναλλιον, καὶ τὰς λεγο-
μένας Βαττου σκοπιὰς· ᾤκει δὲ ὁ Βαττος οὗτος
ἐπ' ἄκρῳ τῷ σκοπέλῳ· καὶ ἐπεὶ τῆς φωνῆς
ἤκουσε παρελαυνομένων τῶν μόσχων, προελθὼν
ἐκ τῶν οἰκίων ἔγνω περὶ τῶν βοῶν ὅτι κλο-
πημαίας ἄγει καὶ μισθὸν ᾔτησεν, ἵνα πρὸς μη-
δένα φράσῃ περὶ αὐτῶν· Ἑρμῆς δὲ δώσειν ὑπὲ
τούτοις ὑπέσχετο· καὶ ὁ Βάττος ὤμοσε περὶ
τῶν βοῶν πρὸς μηδένα κατερεῖν. Ἐπεὶ δὲ αὐ-
τὰς Ἑρμῆς ἔκρυψεν ἐν τῷ πριῶνι παρὰ τὸ κορυ-
φαίσιον εἰς τὸ σπήλαιον εἰσελάσας ἄντικρυς
Ἰταλίας καὶ Σικελίας, αὖθις ἀφίκετο πρὸς τὸν
Βάττον ἀλλάξας ἑαυτὸν· καὶ πειρώμενος εἰ
αὐτῷ συμμένειν ὑπὲ τοῖς ὁρκίοις ἐθέλει· διδοὺς δὲ
μισθὸν χλαῖναν, ἐπυνθάνετο παρ' αὐτοῦ μὴ κλο-
πιμαίας βοῦς ἔγνω παρελαθείσας. ὁ δὲ Βάττος
ἔλαβε τὴν χλαμύδα, καὶ ἐμήνυσε περὶ τῶν βοῶν.

Ἑρμῆς

Ἑρμῆς δὲ χαλεπήνας ὅτι διχόμυθος ἦν, ἐραπίσεν αὐτὸν τῇ ῥάβδῳ, καὶ μετέβαλεν εἰς πέτρον. Ὃ αὐτὸν οὐκ ἐκλείπει κρύος οὐδὲ καῦμα· λέγεται δὲ καὶ ὁ τόπος προδευόντων ἄχρι νῦν σκοπιὰ Βαττου.

Δημήτηρ ὅτε πλανῆτις ἐπήει γῆν ἅπασαν κατὰ ζήτησιν τῆς θυγατρὸς, ἀνεπαύσατο ἐν τῇ Ἀττικῇ· καὶ αὐτὴν ὑπὸ πολλοῦ καύματος ὑποδέχεται Μίσμη, καὶ διδοῖ ποτὸν ὕδωρ ἐμβαλοῦσα γλήχωνα καὶ ἄλφιτον εἰς αὐτὸ· καὶ ἡ δημήτηρ ἐξέπιε κατὰ τὸ δίψος, τὸ ποτὸν ἀθροῦν· ὁ δὲ παῖς ὁ τῆς Μίσμης Ἀσκαλαβὸς ἰδὼν, ἐποίησε γέλοντα· καὶ αὖτις ἐκέλευσεν ὀρέγειν αὐτῇ λέβητα βαθὺν, ἢ πιθάκνην· δημήτηρ δὲ κατ' ὀργὴν ὡς εἶχε τὸ ποτὸν αὐτῷ τὸ καταλειπόμενον προσέχεεν· ὁ δὲ μεταλαβὼν, ἐγένετο ποικίλος ἐκ τοῦ σώματος Ἀσκαλαβὸς, καὶ ὑπὸ θεῶν καὶ ὑπὸ ἀνθρώπων μεμίσηται· καὶ ἔστιν αὐτῷ δίαιτα πρὸ ὀχετὸν· ὁδ' ἀρκτείνας κεχαρισμένος γίνεται Δημῆτρι.

Ἀσκαλαβὸς. κδ'.

Ἱστορεῖ Νίκανδρος ἑτεροιουμένων δ'.

Ὠρίωνος τοῦ Ὑριέως ἐν Βοιωτίᾳ θυγατέρες ἐγένοντο Μητιόχη καὶ Μενίππη· αὗται ὅτε Ὠρίονα ἠφάνισεν ἐξ ἀνθρώπων Ἄρτεμις, ἐτρέφοντο πρὰ τῇ μητρὶ· καὶ Ἀθηνᾶ μὲν ἐδίδασκεν αὐτὰς ἱστοὺς ἐξυφαίνειν· Ἀφροδίτη δὲ αὐταῖς ἔδωκε κάλλος· ἐπεὶ δὲ Ἀονίαν ὅλην

Μητιόχη καὶ Μενίππη. κε.

Ἱστορεῖ Νίκανδρος ἑτεροιουμένων δ', καὶ Κόριννα ἑτεροιῶν α'.

ἔλαβε λοιμὸς, καὶ πολλοὶ ἀπέθνησκον, θεωρὸς
ἀπέστελλαν πρὸς τὸν Ἀπόλλωνα τὸν Γορτύνιον·
καὶ αὐτοῖς ἔπεσε ὁ θεὸς, ἱλάσασθαι δύο αὖ
Ἐρεννίας· ἔφη δὲ ἕνα τὰ παύσειν αὐτοὺς τὴν μῆ-
νιν, εἰ δύο δυοὶν ἔρυσαι πρένοι θύματα γέ-
νοιντο· πρὸς δὲ δὴ τὸ μαντεῖον, οὐδεμία τῶν
ἐν τῇ πόλει πρενῶν ὑπήκουσεν, ἄχρι γυνὴ
θῆσα τὸν χρησμὸν ἐξήνεγκε πρὸς τὰς θυγα-
τέρας τὰς Ὠρείωνος· αἱ δ' ὡς ἐπύθοντο πρὸ
τὸν ἴσον ἔχειν ἢν ὑπὲρ αὐτῶν θάνατον ἐδέ-
ξαντο, πρὶν ἢ πρὸ ἰδιοδήμιον ἰδιωτεύσαι
αὐτὰς ἀφανίσαι νόσον. τρεῖς δὲ βουπάμωνι
χθονίας δαίμονας, ὅτι αὐτοῖς ἔκτασι θύματα
γίνονται, ἐπάταξαν ἑαυτὰς τῇ κορκίδι πρὸ
τῶν κλεῖδα, καὶ ἀνέῤῥηξαν τῶν σφαγῶν· καὶ
αὗται μὲν ἀμφότεραι κατέπεσον ἐς τὸν γῶν·
Φόρρεφόνη δὲ καὶ ᾄδης οἰκτείραντες τὰ μὲν
σώματα τῶν πρενῶν ἠφάνισαν· αὐτὶ δ' ἐκέ-
νων ἀστέρας ἀνέπεμψαν ἐκ τῆς γῆς· οἱ δὲ φα-
νέντες, ἀνεπέχθησαν εἰς οὐρανὸν, καὶ αὐτὰς ὠ-
νόμασαν ἄνθρωποι κριήτας· ἱδρύσαντο δὲ
πάντες Ἄονες ἐν Ὀρχομενῷ τῆς Βοιωτίας,
ἱερὸν ἐπίσημον τῶν πρενῶν τούτων. καὶ αὐ-
ταῖς καθ' ἕκαστον ἔτος κῆροι τε κῆρας μελί-
γματα φέρουσι· πρόσαγορεύουσι δ' αὐτὰς ἄχρι
νῦν Αἰολεῖς, κορωνίδας πρθένας.

ἐκ πρὸς, *fronlaneo, et mox infr.*

Ἡρακλῆς

Ἡρακλῆς ὅτε μετὰ τῶν Ἀργοναυτῶν ἔπλει, Ὕλας. κϛ'.
στρατηγὸς ὑπ' αὐτῶν ἀποδειχθεὶς, συνεπήγετο Ἱστορεῖ Νίκαν-
μεθ' αὑτοῦ καὶ Ὕλαν, παῖδα μὲν Κήυκος. *ἱτυ- δρος ἑτεροιου-
ποσ' νέον δὲ καλὸν· ἐπεὶ δὲ πρὸς τὸ στενὸν ἐξί- μένων δ'.
κοντο τοῦ πόντου, καὶ τὰ σφυρὰ παρέπλευσαν τῆς *ἀτόπως
Ἀργανθώνης, καὶ ἐγένετο χειμὼν καὶ σάλος, ἐν-
ταῦθα καταβαλόντες ἀγκύρας, ἀνέπαυσαν
τὴν ναῦν· καὶ Ἡρακλῆς παρεῖχε τοῖς Ἥρωσι τὸ
δεῖπνον· ὁ δὲ παῖς Ὕλας ἔχων χρωσὸν, ἦλθε πρὸς Ι. χρωσσὸν
τὸν Ἀσκάνιον ποταμὸν, ὕδωρ ἀπρίσων τοῖς ἀριστεῦσι.
καὶ αὐτὸν ἰδοῦσαι νύμφαι, τοῦ ποταμοῦ τούτου θυ-
γατέρες, ἠράσθησαν· ἀρυόμενον δὲ καταβάλλου-
σιν εἰς τὴν κρήνην· καὶ ὁ μὲν Ὕλας ἀφανὴς ἐγένε-
το· Ἡρακλῆς δ' ἐπεὶ αὐτῷ οὐκ ἐνόστει, καταλι-
πὼν τοὺς Ἥρωας, ἐξερευνᾶ πανταχοῖ τὸν δρυ-
μὸν, καὶ ἐβόησε πολλάκις τὸν Ὕλαν· νύμφαι
δὲ δείσασαι τὸν Ἡρακλέα μὴ αὐτὸν εὕροι κρυπτό-
μενον παρ' αὐταῖς, μετέβαλον τὸν Ὕλαν, καὶ
ἐποίησαν ἠχώ, καὶ πρὸς τὴν βοὴν πολλάκις
ἀντεφώνησεν Ἡρακλεῖ. καὶ ὁ μὲν ὡς οὐκ ἐδύνατο,
πλεῖστα πρισάμενος ἐξευρεῖν τὸν Ὕλαν, παρεγέ-
νετο πρὸς τὴν ναῦν· καὶ αὐτὸς μὲν ἔπλει μετὰ τῶν
ἀριστέων· πολύφημον δὲ καταλείπει ἐν τῷ
χωρίῳ, εἴ πως δύναιτο ζητῶν ἐξευρεῖν αὐτῷ
τὸν Ὕλαν· καὶ ὁ μὲν πολύφημος ἔφθη τελευτή-
σας· Ὕλᾳ δὲ θύουσι ἄχρι νῦν παρὰ τὴν κρήνην

οἱ ἰνθιχώριοι, καὶ αὐτὸν ἐξ ὀνόματος εἰς τρὶς ὁ ἱερεὺς φωνεῖ, καὶ εἰς τρὶς ἀμείβεται πρὸς αὐτὸν ἠχώ.

Ἰφιγένεια. κζ'.

Ἱστορεῖ Νίκανδρος ἑτεροιουμένων δ'.

Θησέως καὶ Ἑλένης τῆς Διὸς ἐγένετο θυγάτηρ Ἰφιγένεια, ἣν αὐτὴν ἐξέτρεφεν ἡ τῆς Ἑλένης ἀδελφὴ Κλυταιμνήστρα· πρὸς δὲ τὸν Ἀγαμέμνονα εἶπεν αὐτὴ τεκεῖν· Ἑλένη γὰρ πυνθανομένη τὴν ἀδελφῶν, ἔφη κόρη παρὰ Θησέως ἀπελθεῖν· ἐπεὶ δὲ ἡ στρατεία ἡ τῶν Ἀχαιῶν ὑπὸ ἀπλοίας ἐν Αὐλίδι κατείχετο, προσεσήμαινον οἱ μάντεις, ὅτι ἔσοιτο πλοῦς, ἐὰν Ἀρτέμιδι θύσωσι τὴν Ἰφιγένειαν. Ἀγαμέμνων δὲ διδοῖ σφάγιον αὐτὴν αἰτούντων τῶν Ἀχαιῶν· πρὸς δὲ τὸν βωμὸν ἀγομένην οἱ ἀριστεῖς, οὐ προσέβλεψαν, ἀλλὰ πάντες ἔτρεψαν ἄλλῃ τὰς ὄψεις· Ἄρτεμις δὲ ἀντὶ τῆς Ἰφιγενείας παρὰ τὸν βωμὸν ἔφηνε μόσχον, αὐτὴν δὲ προσωτάτω τῆς Ἑλλάδος ἀπήνεγκεν εἰς τὸν Εὔξεινον λεγόμενον πόντον, παρὰ Θόαντα τὸν βορυσθένους παῖδα· καὶ τὸ μὲν ἔθνος ἐκεῖνο τῶν νομαίδων ἐκάλεσε Ταύρους, ἐπεὶ ἀντὶ τῆς Ἰφιγενείας παρὰ τὸν βωμὸν ἔφηνε ταῦρον· αὐτὴν * δοσταυροπόλου· κατὰ δὲ χρόνον ἱκούμενον, ἀπῴκισε τὴν Ἰφιγένειαν εἰς τὴν Λευκὴν λεγομένην παρὰ τὸν Ἀχιλλέα, καὶ ἀλλάξασα ἐποίησεν αὐτὴν ἀγήρων καὶ ἀθάνατον δαίμονα· καὶ ὠνόμασεν ἀντὶ τῆς Ἰφιγενείας,

γενέας, Ὀρειλοχίαν· ἐγένετο δὲ Ἀχιλλεῖ ζωοικος.

Τυφὼν ἐγένετο γῆς ὑὸς ἐξαίσιος δαίμων πρὸς ἰσχύν· κατὰ δὲ τὴν ὄψιν παραλλαγμένος· ἐπεφύκεσαν γὰρ κεφαλαὶ ὀλίσθαι, καὶ χεῖρες, καὶ πτέρυγες· ἐν δὲ τῇ μεγάλῃ μέγιστον ὀρακόντων ὤειραι· φωνὰς δὲ παντοίας ἠφίει, καὶ αὐτὸν ὅλον ὑπέμενεν εἰς ἀλκήν· ὃς τοὺς ἐπολέμησε τῷ Διὶ ἔχθιστον τὸν ἀρχήν, καὶ αὐτὸν ἐπερχόμενον ὅλον ὑπέμεινε τὴν θεὸς, ἀλλὰ δείσαντες ἔφυγον παντὸς εἰς τὴν Αἴγυπτον. Ἀθλιὰ δὴ καὶ Ζεὺς ὑπελείφθη μόνος. Τυφὼν δ' ἐν πολλοῖς ἐδίωκεν· οἱ δὲ πρόμηθείαν διέφυγον, ἀλλάξαντες εἰς ζῶα τὰς ὄψεις. καὶ Ἀπόλλων μὲν ἐγένετο ἱέραξ· Ἑρμῆς δὲ ἶβις, Ἄρης δὲ λεπιδωτὸς ἰχθὺς, Ἄρτεμις δὲ αἴλουρος· τράγῳ δὲ ἐικάζετο Διόνυσος, ἔλαφος δ' Ἡρακλῆς, βοῒ δ' Ἥφαιστος, μυγάλῃ δὲ Λητώ· καὶ ὡς ἕκαστος ἔτυχε τὴν ἄλλων θεῶν μετέβαλε τὴν ὄψιν· ἐπεὶ δὲ Τυφῶνα Ζεὺς βάλλει κεραυνῷ· καιόμενος δὲ ὁ Τυφὼς ἐκρύφευε ἑαυτὸν, καὶ ἠφάνισεν τὴν φλόγα τῇ θαλάσσῃ. Ζεὺς δ' ὃν αἰνίσσεται, ἀλλὰ μέγιστον ὄρος ἐμβάλλει Τυφῶνι τῇ Αἴτνῃ. καὶ αὐτῷ φύλακα τὸν Ἥφαιστον ὑπὸ τὴν ἄκρων ἐφίστησιν. ὁ δ' ἀνορέσας τοὺς ἄκμονας αὐτὸς τῷ πραχήλῳ διαπύρους ὀργάζεται μύδρον.

Τυφὼν. κή. Ἱστορεῖ Νίκανδρος ἑτεροιωμένως δ'.

Γαλινθιὰς. κθ'.

Ἱστορεῖ Νίκανδρος ἑτεροιουμένων δ.

Προίτου θυγάτηρ ἐν Θήβαις ἐγένετο Γαλινθιὰς· αὕτη παρθένος ὢν συμπαίκτρια καὶ ἑταίρισα Ἀλκμήνης τῆς Ἠλεκτρύωνος· ἐπεὶ δὲ Ἀλκμήνην ὁ τόκος ἤπειγεν τοῦ Ἡρακλέους, μοῖραι καὶ εἰλείθυια πρὸς χάριν τῆς Ἥρας κατεῖχον ἐν ταῖς ὠδῖσι τὴν Ἀλκμήνην. καὶ αὗται μὲν ἐκαθέζοντο κρατοῦσαι τὰς ἑαυτῶν χεῖρας. Γαλινθιὰς δὲ δείσασα μὴ Ἀλκμήνην ἐκστήσωσι βαρυνομένην οἱ πόνοι, δραμοῦσα παρά τε τὰς μοίρας καὶ τὴν εἰλείθυιαν ἐξήγγειλεν, ὅτι Διὸς βουλῇ γέγονε τῇ Ἀλκμήνῃ παῖς κόρος· αἱ δὲ ἐκείνων τιμαὶ καταλέλυνται· πρὸς δὴ τοῦτ' ἔκπληξις ἔλαβε τὰς μοίρας, καὶ ἀνῆκαν εὐθὺς τὰς χεῖρας· Ἀλκμήνην δὲ κατέλιπον εὐθὺς αἱ ὠδῖνες· καὶ ἐγένετο Ἡρακλῆς, αἱ δὴ μοῖραι πένθος ἐποιήσαντο· καὶ τῆς Γαλινθιαίδος ἀφείλοντο τὴν κορείαν, ὅτι θνητὴ τοὺς θεοὺς ἐξηπάτησεν. καὶ αὐτὴν ἐποίησαν δολερὰν γαλῆν, καὶ δίαιταν ἔδωκαν ἐν τῷ μυχῷ, καὶ ἄμορφον ἀπέδειξαν τὴν εὐνὴν· θορίσκεται μὲν τὰ διὰ τῶν ὤτων· τίκτει δ' ἀναφέρουσα τὰ κνούμενον ἐκ τοῦ τραχήλου· ταύτην ἑκάτη πρὸς τὴν μεταβολὴν τῆς ὄψεως ᾤκτειρεν· καὶ ἀπέδειξεν ἱερὰν αὐτῆς διάκονον· Ἡρακλῆς δ' ἐπεὶ ἠυξήθη τὴν χάριν ἐμνημόνευσε, καὶ αὐτῆς ἐποίησεν ἀφίδρυμα παρὰ τὸν οἶκον· καὶ ἱερὰ προσήνεγκε·

κε· ταῦτα νῦν ἔτι τὰ ἱερὰ Θηβαῖοι φυλάττουσι, καὶ πρὸ Ἡρακλέους ἑορτῇ θύουσι Γαλινθιάδι πρώτῃ.

Ἀπόλλωνος καὶ ἀκακαλλίδος τῆς Μίνω θυγατρὸς, ἐγένετο παῖς ἐν Κρήτῃ Μίλητος· τοῦτον ἡ Ἀκακαλλὶς δείσασα Μίνω ἐξέβαλλεν εἰς τὴν ὕλην, καὶ αὐτὸν ἐπιφοιτῶντες λύκοι, βουλῇ Ἀπόλλωνος, ἐφύλαττον, καὶ ὤρεγον παρὰ μέρος γάλα· ἔπειτα δὲ βουκόλοι περιτυχόντες, ἀνείλοντο καὶ ἔτρεφον ἐν τοῖς οἰκείοις· ἐπεὶ δὲ ὁ παῖς ἤυξετο, καὶ ἐγένετο καλὸς, καὶ σραστήριος, καὶ ὁ Μίνως κατὰ πόθον ἐνεχείρει βιάζεσθαι, τότε νυκτὸς ὁ Μίλητος ἐμβὰς εἰς ἄκατον, βουλῇ Σαρπηδόνος εἰς καρίαν ἀφδιστράσκει· καὶ πόλιν ἐνταυθοῖ κτίσας μίλητον, ἔγημεν Εἰδοθέην τὴν Εὐρύτου θυγατέρα τοῦ βασιλέως τῶν καρῶν· καὶ ἐγένοντο δίδυμοι παῖδες αὐτῷ Καῦνος καὶ Βυβλὶς, ἀφ' οὗ πόλις ἐστὶν ἔτι νῦν ἐν Καρίᾳ, Καῦνος καὶ Βιβλίς· ταύτης ἐγένοντο πλεῖστοι μνηστῆρες ὠθιχώριοι, καὶ κατὰ κλέος ἐκ τῶν πέριξ πόλεων· ἡ δὲ τῶν μὲν λόγον ἐποεῖτο βραχὺν, αὐτὴν δὲ ἄφατος ἔρως ἐξέμηνε τοῦ Καύνου· καὶ τὸ πάθος ἄχρι μὲν ἐδύνατο κρύπτειν. ἐλελήθει τοὺς γονεῖς· ἐπεὶ δὲ καθ' ἡμέραν εἴχετο χαλεπωτέρῳ δαίμονι, νυκτὸς ἔγνω καταβαίλειν

Βιβλίς. λ'.

Ἱστορεῖ Νίκανδρος ἑτεροιουμένων β'.

ἐκ τῆς πέτρας ἑαυτὴν· καὶ ἡ μὲν εἰς τὸ πλησίον ὄρος παρελθοῦσα εἴπτειν ἑαυτὴν ἐπεχείρησε. νύμφαι δὲ κατέσχοις οἰκτείρασαι, καὶ πολὺν ὕπνον ἐνέβαλον, καὶ αὐτὴν ἤλλαξαν ἀπ' ἀνθρώπως εἰς δαίμονα, καὶ ὠνόμασαις Ἁμαδρυάδα νύμφην Βιβλίδα, ⊂ ἐποιήσαντο συνδίαιτον ἑταιρίδα· καλεῖται δὲ καὶ τὸ ῥέος ἐκ τῆς πέτρας ἐκείνης ἄχρι νῦν παρὰ τοῖς ἐνθιχωρίοις, δάκρυον Βιβλίδος.

Μεσσάπιοι. λά.

Ἱστορεῖ Νίκανδρος ἑτεροιουμένων β'.

Λυκάονος τοῦ αὐτόχθονος ἐγένοντο παῖδες Ἰάπυξ καὶ Δαύνιος, καὶ Γευκέτιος· οὗτοι λαὸν ἀθροίσαντες, ἀφίκοντο τῆς Ἰταλίας παρὰ τὸν Ἀδρίαν· ἐξελάσαντες δὲ τοὺς ἐνταυθοῖ οἰκοῦντας Αὔσονας, αὐτοὶ καθιδρύθησαν· ἦν δὲ τὸ πλέον αὐτοῖς τῆς στρατιᾶς ἔποικον, Ἰλλυριοὶ, Μεσσάπιοι· ἐπεὶ δὲ τὸν στρατὸν ἅμα καὶ τὴν γῆν ἐμέρισαν τριχῇ, καὶ ὠνόμασαν ὡς ἑκάστοις ἡγεμόνος εἶχε, Δαυνίους καὶ Γευκετίους, καὶ Μεσσαπίους· τὸ μὲν ἀπὸ Ταύραντος ἄχρι πρὸς τὴν ἐσχατιὰν τῆς Ἰταλίας, ἐγένετο Μεσσαπίων, ἐν ᾗ πόλις ᾤκηται Βρεντέσιον. τὸ δὲ παρὰ τὴν ἐντὸς τοῦ Ταύραντος, ἐγένετο Γευκετίων· ἐνδοτέρω δὲ τούτου τῆς θαλάσσης ἐπέπλεον, Δαύνιοι· τὸ δὲ σύμπαν ἔθνος ὠνόμασαν Ἰαπύγων· καὶ ἐγένετο ταῦτα, πολὺ πρὸ τῆς Ἡρακλέους στρατείας· ἦν δὲ τοῖς τότε βίος ἀπὸ

θρεμμάτων

θρεμμαίτων καὶ νομῆς· μυθολογοῦσιν οὖν ἐν τῇ Μεσσαπίων γῇ πρὰ τὰς λεγομένας ἱερὰς πέτρας, φανῆναι νύμφας ὑθιμηλίδας χορεύουσας· τοὺς δὲ παῖδας τῶν Μεσσαπίων, καταλιπόντας τὰ ποίμνια καὶ θεωμένους, εἰπεῖν, ὅτι βέλτιον αὐτοὶ χορεύουσιν· οὗτος ὁ λόγος ἤλγυνε τὰς νύμφας, καὶ τὸ νεῖκος ἐπὶ πλέον ἐγένετο περὶ τῆς χορείας· οἱ δὲ παῖδες ὅτι μὲν ἦν αὐτοῖς ἅμιλλα πρὸς δαίμονας, ἠγνόουν· ἐχόρευον δ' οἷα πρὸς ὁμήλικας θνητὰς, καὶ ὁ τρόπος αὐτοῖς τῆς ὀρχήσεως ἅτε ποιμένων, ἄμουσος ἦν· ταῖς δὲ νύμφαις πᾶν ὅσον ἢ πλεῖστον ἐπέδωκεν εἰς κάλλος· καὶ ἐπεκράτησαν χορεύουσαι τῶν παίδων, ὃς ἔλεγον πρὸς αὐτοὺς τάδε· ὦ κοῦροι, τὸ νεῖκος ἤρασθε πρὸς ὑθιμηλίδας νύμφας, οὐκ οὖν ὦ ἄφρονες νικώμενοι δώσετε δίκην· καὶ οἱ παῖδες ἵνα περ ἑστήκεσαν πρὰ τὸ ἱερὸν τῶν νυμφῶν, ἐγένοντο δένδρα· καὶ ἔτι νῦν ἀκούεται φωνὴ νυκτὸς ἐκ τῆς ὕλης οἷα θρηνούντων· ὁ δὲ τόπος ὀνομάζεται νυμφῶν τε καὶ παίδων.

Δρύοψ ἐγένετο Σπερχειοῦ παῖς τοῦ ποταμοῦ, καὶ Πολυδώρης μιᾶς τῶν Δαναοῦ θυγατέρων. οὗτος ἐβασίλευσε ἐν τῇ Οἴτῃ, καὶ θυγάτηρ αὐτῷ μονογενὴς ἐγένετο Δρυόπη, καὶ ἐποίμαινεν αὐτὴ τὰ πρόβατα τοῦ πατρὸς· ἐπεὶ δὲ

Δρυόπη, λβ'.

Ἱστορεῖ Νίκανδρος ἑτεροιουμένων α'.

αὐτῆς ἠγάπησαν ὑπερφυῶς Ἁμαδρυάδες νύμφαι, καὶ ἐστοίχοντο συμπαίκτειαν ἑαυτῶν, ἐδίδαξαν ὑμνεῖν θεοὺς, καὶ χορεύειν· ταύτην ἰδὼν Ἀπόλλων χορεύουσαν, ἐπεθύμησε μιχθῆναι. καὶ ἐγένετο πρῶτα μὲν κλεμμύς· ἐπεὶ δ' ἡ Δρυόπη γέλοτα μετὰ τῶν νυμφῶν παίγνιον ἐποιήσατο τὴν κλεμμύν, καὶ αὐτὴν ἀνέθετο εἰς τοὺς κόλπους, μεταβαλὼν αὐτὴν τῆς κλεμμύος, ἐγένετο δράκων, καὶ αὐτὴν κατέλειπον αἱ νύμφαι πρόθεσαι· Ἀπόλλων, δὲ Δρυόπην μίγνυται· ἡ δὲ ᾤχετο φεύγουσα περίφοβος εἰς τὰ οἰκία τοῦ πατρὸς, καὶ οὐδὲν ἔφασε πρὸς τοὺς γονεῖς· ἐπεὶ δ' ἔγημεν αὐτὴν ὕστερον Ἀνδραίμων ὁ Ὀξύλου, γεννᾷ παῖδα ἐξ Ἀπόλλωνος Ἄμφισσον· οὕτω ἐπεὶ τάχιστα ἐλοχεύθη, αὐτὴν ἐγένετο πάντων κράτων· καὶ ἔκτισε πρὸ τῆς Οἰτίλου πόλιν ὁμώνυμον τῷ ὄρει, καὶ τῶν ἐκεῖ τόπων ἐβασίλευσεν· ἱδρύσατο δὲ καὶ Ἀπόλλωνος ἱερὸν ὑπὸ τῇ Δρυοπίδι, καὶ εἰς τοῦτο πρῶτον τὸ ἱερὸν Δρυοπίδι, ἥρπασαν Ἁμαδρυάδες νύμφαι κατ' εὐμένειαν· καὶ αὐτὴν μὲν ἀπέκρυψαν εἰς τὴν ὕλην· αὐτὴ δ' ἐκείνης αἴγειρος ἀνέφυεν ἐκ τῆς γῆς, καὶ παρὰ τὴν αἴγειρον ὕδωρ ἀνέῤῥηξεν· Δρυόπη δὲ μετέβαλε, καὶ αὐτὴ θνητῆς ἐγένετο νύμφη· Ἄμφισσος δὲ αὐτὴ τῆς πρὸς τὴν μητρὸς

τόρα χαρίτος ἱερὸν ἱδρύσατο νυμφῶν, καὶ πρῶτος ἀγῶνα ἐπετέλεσε δρόμου καὶ ἔτι νῦν οἱ ἐπιχώριοι τὸν ἀγῶνα διαφυλάσσουσι τοῦτον· γυναικὶ δ' οὐχ ὅσιον παρατυχεῖν, ὅτι Δρυόπην ἀφανισθεῖσαν ὑπὸ νυμφῶν, δύο παρθένοι τοῖς ἐπιχωρίοις ἐδήλουσαν, πρὸς ἃς ἐχαλέπηναν αἱ νύμφαι, καὶ αὐτὰς ἀντὶ παρθένων ἐλάτας ἐποίησαν.

Μετὰ τὸν Ἡρακλέους ἐξ ἀνθρώπων ἀφανισμὸν, Εὐρυσθεὺς ἐξελαύσας αὐτοὺς τῆς πατρίδος, αὐτὸς ἐβασίλευεν· οἱ δὲ Ἡρακλεῖδαι καταφυγόντες πρὸς Δημοφῶντα τὸν Θησέως, ᾤκησαν τὴν Τετραπόλιν τῆς Ἀττικῆς· Εὐρυσθεὺς δὲ πέμψας ἄγγελον εἰς Ἀθήνας, πόλεμον προέλεγεν τοῖς Ἀθηναίοις, εἰ μὴ τοὺς Ἡρακλείδας ἐξελάσωσιν· οἱ μὲν οὖν Ἀθηναῖοι τὸν πόλεμον οὐκ ἀπολέγονται· Εὐρυσθεὺς δ' ἐνέβαλε εἰς τὴν Ἀττικὴν, καὶ παραταξάμενος, αὐτὸς μὲν ἀπεθνήσκει μαχόμενος· ἡ δὲ πληθὺς ἐτράπη τῶν Ἀργείων· Ὕλλος δὲ καὶ οἱ ἄλλοι Ἡρακλεῖδαι, ~~καὶ σὺν αὐτοῖς~~, ἀπεθάνοντος Εὐρυσθέως, κατοικίζονται πόλιν ἐν Θήβαις· ἐν δὲ τούτῳ καὶ Ἀλκμήνη κατὰ γῆρας ἀπεθνήσκει, καὶ αὐτὴν ἐξεκόμισαν Ἡρακλεῖδαι· ᾤκουν δὲ παρὰ τὰς ἠλέκτρας πύλας, ὅθι περ καὶ Ἡρακλῆς ἐν τῇ ἀγορᾷ· Ζεὺς δὲ Ἑρμῆν πέμπει, κελεύων

Ἀλκμήνη. λγ'. Ἱστορεῖ Φερεκύδης.

Ἀλκμήνην

Ἀλκμήνῃ ἐγκλέψαι, καὶ ἀπενεγκεῖν εἰς μακάρων νήσους, ὃ δοὺς Ῥαδαμάνθυϊ γυναῖκα. Ἑρμῆς ὁ φαθεὶς Ἀλκμήνῃ ἐγκλέπτῃ. λίθους δ' αὐτ' αὐτῆς ὑπέθηκεν εἰς τὸ στόμα· οἱ δ' Ἡρακλεῖδαι ἐπεὶ τὸν λοιπὸν φόβον τες, ἐθαρρύοντο, καὶ ἀπέθεντο· καὶ ἀφαιρούμενοι δῦρον ἀντὶ τῆς Ἀλκμήνης λίθον, καὶ αὐτὸν ἐξελόντες, ἔκαυσαν ὑπὸ τῷ ἄλσει, ὅθι ἐστὶν ὁ ἥρῳον ὁ τῆς Ἀλκμήνης ὑπὸ Θήβαις.

Σμύρνα. λδ'. ἀδέσποτος.

Θείαντος τοῦ Βήλου καὶ Ὠρειθυίας μιᾶς τῶν νυμφῶν, ἐγένετο θυγάτηρ ὑπὸ τῷ ὄρει τῷ Λιβάνῳ Σμύρνα· ταύτην Δι᾽ ἀφροδίτην πολλοὶ καὶ ἐκ πόλεων πολλῶν ἐμνήσθησαν· ἣ δὲ πολλὰ ἐμηχανᾶτο πρὸς ἀπάτην τῶν γονέων, καὶ ἀνάθεσιν τοῦ χρόνου· δεινὸς γὰρ αὐτὴν ἔρως ἐξέμηνεν ἐπὶ τῷ πατρὶ· καὶ νὺξ μὲν ἀρχὰς δι' αἰδῶ κατέκρυπτε τὸν νόσον· ἐπεὶ δὲ πάνδημος αὐτὴν προσῆγεν, ἐξέπεσε λόγον πρὸς τὴν τροφὸν· ἣ δὲ παραδώσειν αὐτῇ ἄκος τοῦ παλαιοῦ πάθους ὑπεσχνεῖτο, λόγον πρὸς τὸν Θείαντα προσέφερεν, ὅτι αὐτῷ κόρη μακαρίων ἀνθρώπων πρέπει παραγενέσθαι κρυφαίως εἰς τὴν κοίτην· ὁ δὲ Θείας, ὃ γὰρ ἐμήνυσεν οἷα ἐπ' αὐτῷ ἐμηχανᾶτο, κατέκλινε δι' ὀνείρου· καὶ ὁ μὲν ἐν τῷ οἴκῳ σκοτεινὸς ἐδέχετο τὸν κόρον· ἣ δὲ τροφὸς κατακρύ-

φασα

ψασα τῇ ἐσθῆτι τὴν Σμύρναν παρήγαγεν, καὶ πλείονα χρόνον ἐλελήθει πρασσώμενον ἄχαρι καὶ ἄθεσμον ἔργον, ὡς ἐκύησε μὲν ἡ Σμύρνα· Θείαντα δὲ πόθος ἔλαβεν ἐκμαθεῖν ἥτις ἦν ἡ κύουσα· ὁ μὲν κατέκρυψε πῦρ εἰς τὸν οἶκον· Σμύρνα δ' ὡς ἐξίκετο πρὸς αὐτὸν, ἐπαΐστος ἐγένετο, προενεχθέντος ἐξαπίνης τοῦ πυρός· καὶ τὸ βρέφος μὲν ἐξέβαλεν ἐκ τῆς γαστρός· αὕτη δ' ἀνασχοῦσα τὰς χεῖρας ἤυξατο μήτε παρὰ ζῶσι, μητ' ἐν νεκροῖς φανῆναι· καὶ αὐτὴν ὁ Ζεὺς μεταβαλὼν ἐποίησε δένδρον, καὶ ἐκάλεν ὁμώνυμον αὐτῇ Σμύρναν· τοῦτο λέγεται κατ' ἔτος ἕκαστον δακρύειν τὸν ἀπὸ τοῦ ξύλου καρπὸν· καὶ Θείας μὲν ὁ πατὴρ τῆς Σμύρνης δεῖ ἔργον ἀθέμιστον ἑαυτὸν ἀνεῖλε· τὸ δὲ βρέφος Διὸς βουλῇ τρεφόμενον, ὠνόμασαν Ἄδωνιν, καὶ αὐτὸν Ἀφροδίτη πλεῖστον ἠγάπησε δεῖ τὸ κάλλος.

Βουκόλοι. λέ.

Ἱστορεῖ Μενεκράτης Ξάνθιος Λυκιακοῖς· καὶ Νίκανδρος.

Λητώ ἐπεὶ ἔτεκεν Ἀρπόλλωνα καὶ Ἄρτεμιν ἐν Ἀστερίᾳ τῇ νήσῳ ἀφίκετο εἰς Λυκίαν, ὑπὸ φερομένη τοὺς παῖδας ὑπὸ τὰ λουτρὰ τοῦ Ξάνθου· ἐπεὶ τάχιστα ἐγένετο ἐν τῇ γῇ ταύτῃ, ἐνέτυχε πρῶτα μελίτῃ κρήνῃ. καὶ προεθυμεῖτο πρὶν ὑπὸ τὸν Ξάνθον ἐλθεῖν, ἐνταυθοῖ τοὺς παῖδας ἀπολοῦσαι· ἐπεὶ δ' αὐτὴν ἐξήλασαν ἄνδρες βουκόλοι, ὅπως ἂν αὐτοῖς οἱ βόες ἐκ τῆς κρήνης πίωσιν, ἀπαλλάττετο καταλιποῦσα τὴν μελίτην ἡ

τὴν ἡ Λητώ· λύκοι δὲ συναντώμενοι καὶ σήναντες, ὑφηγήσαντο τῆς ὁδοῦ, καὶ ἀπήγαγον ἄχρι πρὸς τὸν ποταμὸν αὐτὴν τὸν Ξάνθον. ἡ δὲ πιοῦσα τοῦ ὕδατος καὶ ἀπολούσασα τοὺς παῖδας, τὸν μὲν ξάνθον ἱερὸν ἀπέδειξεν Ἀπόλλωνος, τὴν δὲ γῆν Τριμιλίδα λεγομένην, Λυκίαν μετωνόμασεν ἀπὸ τῶν καθηγησαμένων λύκων· ὑπὸ δὲ τὴν κρήνην αὖτις ἐξίκετο, δίκην ὑπιβαλοῦσα τοῖς ἀπελάσασιν αὐτὴν βουκόλοις· καὶ οἱ μὲν ἀπελούοντο ἔτι παρὰ τὴν κρήνην τοὺς βοῦς· Λητώ δὲ μεταβαλοῦσα πάντας, ἐποίησε βατράχους· καὶ λίθῳ τραχεῖ τύπτουσα τὰ νῶτα καὶ τοὺς ὤμους, κατέβαλε πάντας εἰς τὴν κρήνην· καὶ βίον ἔδωκεν αὐτοῖς καθ' ὕδατος· οἱ δ' ἄχρι νῦν παρὰ ποταμοὺς βοῶσι καὶ λίμνας.

Πανδάρεος. λϛ'.

Ἡνίκα Ῥέα φοβουμένη Κρόνον, κατέκρυψεν ἐν τῷ κευθμῶνι τῆς Κρήτης τὸν Δία, τότε αὐτὸν ἐξέθρεψεν αἴξ νύμφη μαστὸν ὀρέγουσα· τὴν αἶγα δὲ Ῥέας βουλῇ κύων χρύσεος ἐφύλαττεν· ἐπεὶ δὲ Ζεὺς τιτῆνας ἐξελάσας, τὸν Κρόνον ἀφείλετο τῆς ἀρχῆς, ἐποίησε τὴν μὲν αἶγα μεταβαλὼν ἀθάνατον· καὶ αὐτῆς ἔτι νῦν εἴδωλόν ἐστι ἐν τοῖς ἄστροις· τὸν δὲ κύνα τὸν χρύσεον ἀπέδειξε φυλάττειν τὸ ἱερὸν ἐν Κρήτῃ· τοῦτον Πανδάρεος ὁ Μέροπος κλέψας, ᾤχετο φέρων εἰς Σίπυλον· καὶ αὐτὸν παρεδέξατο φυλάττειν

παρὰ

παρὰ τοῦ Γανδαρέου, Τάνταλος ὁ Διὸς καὶ πλουτοῦς· ἐπεὶ δὲ μετὰ χρόνον Γανδάρεος ἐλθὼν εἰς Σίπυλον, ἀπῄτει τὴν κύνα, Τάνταλος ὤμοσε μὴ λαβεῖν. Ζεὺς δὲ Γανδάρεον μὲν ἀντὶ τῆς κλοπῆς ἐπρίησεν ὅθι περ εἱστήκει πέτρον. Τάνταλον δὲ ἐπεὶ τὸν ὅρκον ἐψεύσατο, κατέβαλε, καὶ περὶ αὐτὸν ὑπὲρ κεφαλῆς τὴν Σίπυλον. de Sipylo in caput pcipitem dedit.

Διομήδης μετὰ τὴν ἅλωσιν ἰλίου παραγενόμενος εἰς Ἄργος· Αἰγιάλειαν μὲν ἐμέμψατο τὴν γυναῖκα τὴν ἑαυτοῦ χαρὶν ἔργον Ἀφροδίτης· αὐτὸς δ' εἰς Καλυδῶνα τῆς Αἰτωλίας ἀφίκετο, καὶ ἀνελὼν Ἄγριον καὶ τοὺς παῖδας Οἰνεῖ τῷ προπάτορι τὴν βασιλείαν ἀπεδίδωσιν· αὖτις δὲ πλέων εἰς Ἄργος ὑπὸ χειμῶνος εἰς τὸν Ἰόνιον ἐκφέρεται πόντον· ἐπεὶ δὲ παραγενόμενον αὐτὸν ἔγνω Δαύνιος ὁ βασιλεὺς ὁ τῶν Δαυνίων ἐδεήθη τὸν πόλεμον αὐτῷ συμπολεμῆσαι πρὸς Μεσσαπίους, ὑπὲρ μέρει γῆς καὶ γάμῳ θυγατρὸς τῆς ἑαυτοῦ· καὶ Διομήδης ὑποδέχεται τὸν λόγον· ἐπεὶ δὲ παραταξάμενος ἐτρέψατο τοὺς Μεσσαπίους, καὶ ἔλαβε τὴν γῆν, ταύτην μὲν Δωριεῦσιν ἔνειμεν τοῖς σὺν αὐτῷ· δύο δὲ παῖδας ἐκ τῆς θυγατρὸς ἔσχε τῆς Δαυνίου Διομήδη καὶ Αμφίνομον· τελευτήσαντα δ' αὐτὸν κατὰ γῆρας ἐν Δαυνίοις, ἐκτέρισαν

Δωριεῖς. λξ'.

οἱ Δω-

οἱ Δωριεῖς ἐν τῇ νήσῳ, καὶ ὠνόμασαν αὐτὴν Διομήδειαν· αὐτοὶ δ' ἐγεώργουν ἣν ἐδάσαντο παρὰ τοῦ βασιλέως γῆν, καὶ αὐτοῖς ἐξέφερε πλεῖστον καρπὸν, κατ' ἐμπειρίαν γεωργικῶν ἔργων· Δαυνίου δ' ἀφθανόντος ἐπεβούλευσαν Ἰλλυριοὶ βάρβαροι κατὰ φθόνον αὐτῶν τῆς γῆς· καὶ ἀνεῖλον ἐν τῇ νήσῳ πάντας ἐντομαθύοντας, ὑπιφανέντες ὅτι Ἰλλυριοὶ τοὺς Δωριεῖς· Διὸς δὲ βουλῇ τὰ σώματα μὲν ἠφανίσθη τῶν Ἑλλήνων· αἱ ψυχαὶ δὲ μετέβαλον εἰς ὄρνιθας· καὶ ἔτι νῦν ἑλληνικὴ μὴ ἐπὰν καθορμίσηται ναῦς, φοιτῶσι πρὸς αὐτοὺς οἱ ὄρνιθες· Ἰλλυρικὴν δὲ φεύγουσι ναῦν, καὶ ἀφανίζονται πάντες ἐκ τῆς νήσου.

Λύκος. λή. Ἱστορεῖ Νίκανδρος ἑτεροιουμένων ά.

Αἰακῷ τῷ Διὸς καὶ Αἰγίνης τῆς Ἀσωποῦ, παῖδες ἐγένοντο Τελαμὼν καὶ Πηλεὺς καὶ τρίτος Φῶκος ἐκ Ψαμάθης τῆς Νηρέως· τοῦτον ἐφίλησε περισσῶς Αἰακὸς, ὅτι καλὸς κἀγαθὸς ἦν ἀνὴρ· Πηλεὺς δὲ καὶ Τελαμὼν φθονήσαντες αὐτῷ, κτείνουσι θαναίτῳ κρυφαίῳ, καὶ διὰ τοῦτ' ἐξελαθέντες ὑπ' Αἰακοῦ τὴν Αἴγιναν ἐξέλειπον· ᾤκησε δὲ Τελαμὼν μὲν Σαλαμῖνα τὴν νῆσον· Πηλεὺς δ' ἐξίκετο πρὸς Εὐρυτίωνα τὸν Ἴρου· καὶ ἱκέτευσας καθαίρεται παρ' αὐτῷ τὸν φόνον· καὶ αὖτις Εὐρυτίωνα ἐν κυνηγεσίοις ἄκων ὑπὸ συὸς βολῇ κτείνει· καὶ φυγὼν ἔρχεται παρὰ Ἄκαστον,

ὃς ὑπὸ

οὗ ὑπὸ τῆς γυναικὸς πρὸς ἀφροδίσιον ἔργον καταλείπεται μόνος ἐν τῷ Γηλίῳ· καὶ πλαζόμενος ἐν τυγχάνει Χείρονι τῷ Κενταύρῳ. ἱκετεύοντα δὲ αὐτὸν ὑποδέχεται ἐκεῖνος εἰς τὸ ἄντρον· καὶ Πηλεὺς ἀγείρας πολλὰ πρόβατα καὶ βοῦς, ἄγει πρὸς τὸν Ἶρον κατὰ ποινὴν τοῦ φόνου· ταύτην οὐχ ὑποδέχεται τὴν ποινὴν ὁ Ἶρος· ἀλλὰ Γηλεὺς ἀπαγαγὼν, ἀφίησιν κατὰ χρησμὸν θεοῦ· καὶ τὰ πρόβατα νομέων ἔρημα λύκος ἐπελθὼν κατέδει· καὶ ὁ λύκος οὗτος κατὰ δαίμονα μεταβαλὼν, ἐγένετο πέτρος· ἃ ἄχρι πλείστου διέμενε μεταξὺ Λοκρίδος καὶ τῆς Φωκέων γῆς.

vid. Lat. p. 58. fin.

Ἀρκεοφῶν ὁ Μιννυρίδου, πόλεως μὲν ἦν Σαλαμῖνος τῆς ἐν Κύπρῳ· γονέων δὲ οὐκ ἠθιφανῶν, ἦσαν γὰρ ἐκ Φοινίκης· χρήμασι δὲ καὶ τῇ ἄλλῃ εὐδαιμονίᾳ πλεῖστον ὑπερηνέγκεν. οὗτος ἰδὼν τὰ θυγατέρα τὴν Νικοκρέοντος τοῦ Σαλαμινίων βασιλέως, ἠράσθη· γένος δ' ἦν τὴν Νικοκρέοντος ἀπὸ Τεύκρου τοῦ ξυνελόντος Ἴλιον Ἀγαμέμνονι. πρὰ ὃ καὶ μᾶλλον ὁ Ἀρκεοφῶν ἐφίετο τοῦ γάμου τῆς παιδὸς· καὶ ὑπέσχετο πλεῖστα πρὰ τοὺς ἄλλους μνηστῆρας ἀποίσειν ἕδνα· Νικοκρέων δ' οὐχ ὑποδέχεται τὸν γάμον κατ' αἰσχύνην γένους τοῦ Ἀρκεοφῶντος, ὅτι αὐτῷ πατέρες ἦσαν Φοίνικες. Ἀρκεοφῶντι δ' ἀπὸ τυγχα-

Ἀρκεοφῶν. λθ'.

Ἱστορεῖ Ἑρμησιάναξ Λεοντίῳ β'.

νομίζω πρὸς τὸν γάμον, πολὺ καλλιπώτερον
ἰδεῖν ὁ ὄρνις· καὶ νυκτὸς ἰδὶ τὰ οἰκία τῆς Ἀρσι-
νόης ἐφοίτα, καὶ διενυκτέρευσε μετὰ τῆν Ἥλι-
κιν τῆν· ἐπεὶ δὲ αὐτῷ πρὸς τὸ ὄρνιν οὐδὲν ἐτυγ-
χάνετο, πέμπει τροφὸν ἑαυτῦ, ἡ σπλᾶσα δῶρα
πέμψασ', ἐπειράθη τῆς παιδὸς, εἴ πως αὐτῷ δι-
δοίατο κρύφα μιχθῆναι τῦ γονέων· ἡ δὲ παῖς
ἐπεὶ τὸν λόγον ἡ τροφὸς αὐτῇ προσῆγκε, κα-
τεμήνυσε πρὸς τοὺς γονέας· οἱ δὲ γλωδασαν ἄ-
κρεαν, καὶ ῥῖνα καὶ δακτύλους ἀκρατεμόντες τῆς
τροφῦ· καὶ λαβόντες αὐοικτρῶς, ἐξήλα-
σαν ἐκ τῆν οἰκιῶν· καὶ πρὸς τὸ ὄρνιν ἐνεμέση-
σεν ἡ θεός· Ἀρκεοφῶν μὲν οὕτω καθ' ὑπερβολὴν
πάθος ἡ ζωμίαν τῇ πρὸς τῦ γάμον ἐκφὺν ἀ-
ποθνήσκει τῦ τροφῆς αἴδεν· οἱ δὲ ζωλῖται τὸν
θάνατον οἰκτείραντες ἐθάφθησαν· ἡμέρᾳ δὲ τεί-
τῃ τὸ σῶμα προήνεγκαν εἰς ἐμφανὲς οἱ προσή-
κοντες, ἡ οἱ μὲν ἔμελλον κηδεύσειν. Ἀρσινόη δὲ πρὸς
ὕβριν ἐπενθύμησεν, ἐκ τῆν οἴκων ἐκκύψασα τὸ
σῶμα τὸ τῦ Ἀρκεοφῶντος κατακαιόμενον ἰδεῖν·
καὶ ἡ μὲν ἐγέλασε· μισήσασα δὲ τὸ ἦθος Ἀφρο-
δίτη, μετέβαλεν αὐτὴν καὶ ἐποίησεν ἐξ ἀνθρώ-
που λίθον, ἡ τοῦ στόματος ἐρρίζωσεν ἐς τὴν γῆν.

Βεττόμαρ-
τις. μ.

Κατασκεπάκης τῆς Ἀραβίας ἡ Φοίνικος τῦ ἀγή-
νορος ἐγένετο Κάρμη· ταύτῃ μιγεὶς Ζεὺς, ἐγέννησε
Βεττόμαρτιν· αὕτη φυγοῦσα τὴν ὁμιλίαν τῶν
ἀνθρώπων,

ἀνθρώπων, ἠγάπησεν ἀεὶ παρθένος εἶναι. ©
παρεγένετο πρῶτα μὲν ἐπ' Ἄργος ἐκ Φοινίκης,
πρὸς τὰς Ἐρασίνου θυγατέρας Βύζην καὶ Με-
λίτην, καὶ Μάιραν, καὶ Ἀγχιρόην· ἔπειτα δ'
ἐκ τοῦ Ἄργους εἰς Κεφαλληνίαν ἀνέβη, © αὐτὴν
ὠνόμαζον οἱ Κεφαλλῆνες, λαφείαν· καὶ ἷρον l. ἱρὸν, i. ἱερεῖον, ut
ἤγαγον ὡς θεῷ· ἔπειτα ὄρχεται εἰς Κρήτην, cetima p.
καὶ αὐτὴν ἰδὼν Μίνως καὶ ἐρασθεὶς, ἐδίωκεν· ἡ
δὲ κατέφυγε πρὸ ἄνδρας ἁλιέας· οἱ δὲ αὐτὴν
κατέδυσαν εἰς τὰ δίκτυα, καὶ ὠνόμασαν ἐκ
τούτου Κρῆτες Δίκτυνναν, © ἱερὰ προσῴκησα-
σαν. ἐκφυγοῦσα ὑπὸ Μίνωα, ἔρχεται ἡ Βριτό-
μαρτις εἰς Αἴγιναν σὺν τοῖς σὺν αὐτῇ ἁλιεῦσι
Ἀνδρομήδῃ· καὶ ὁ μὲν αὐτὴν ἀνεχείρισεν ὀρεγό-
μενον μιχθῆναι· ἡ δὲ Βριτόμαρτις ἀχθέσα ἐκ
τοῦ πλοίου κατέφυγεν εἰς ἄλσος, ὅθι περ δίκτυα
αὐτῆς τὸ ἱερὸν, κάτωθεν ἐκλύεσθαι ἀφανὴς, ©
ὠνόμασαν αὐτὴν Ἄφαιαν· οὗ δὲ τῷ ἱερῷ τῆς
Ἀρτέμιδος ἦν ὑπὸ τοῖχον οὗ ᾧ ἀφανὴς ἐκλύεσθαι ἡ
Βριτόμαρτις, ἀφιέρωσαν Αἰγινῆται, © ὠνό-
μασαν Ἀφαίαν· καὶ ἱερὰ ἐπετέλεσαν ὡς θεῷ.

Κέφαλος ὁ Δηίονος ἔγημεν οὗ Θορικῷ τῆς Αλφέσιβ.
Ἀττικῆς Πρόκριν τὴν θυγατέρα τὴν Ἐρεχθέως· μά.
ἦν δὲ ὁ Κέφαλος νέος καὶ καλὸς καὶ αὐ-
θρεῖος· ἐρασθεῖσα ὑπ' αὐτοῦ καὶ Ἠὼς ἥρπασεν αὐτὴν
ἧς, ἣ ἐπιμήσατο ζωὸν οἰκεῖον· τότε δ' οὖν ὁ Κέφαλος

ἐπειρᾶτο τῆς Πρόκριδος εἰς συμμένειν ἀδιάφθορος αὐτῷ ἐθελήσαι· καὶ αὐτὸς μὲν καθ' ἥντινα πρόφασιν ἐσκήψατο εἰς θήρας ἰέναι· Πρόκριδι δὲ εἰσαπέστελλεν ἄνδρα οἰκέτην ἀγνῶτα φέροντα χρυσὸν πολὺν· ἡ αὐτὸν ἐδίδασκε λέγειν πρὸς τὴν Πρόκριν, ὅτι ἀνὴρ ξένος ἐρασθεὶς διδοῖ τοῦτο τὸ χρυσίον, εἰ αὐτῷ συγγένοιτο· ἡ δὲ Πρόκρις τὸ μὲν πρῶτον ἀπολέγεται τὸν χρυσὸν· ἐπεὶ δὲ διπλαίσιον εἰσέπεμψε, ὁμολογεῖ καὶ προσδέχεται τὸν λόγον, ὁ δὲ κέφαλος ὅτε αὐτὴν ἔγνω παρελθοῦσαν εἰς τὸν οἶκον, καὶ κατακλινεῖσαν ὡς παρὰ τὸν ξένον, * δᾷδα καιομένην παρήνεγκεν καὶ κατεφώρεσεν αὐτήν· Πρόκρις δὲ καταλιποῦσα τὸν Κέφαλον ὑπ' αἰσχύνης, ᾤχετο φεύγουσα παρὰ Μίνωα τὸν βασιλέα τῶν Κρητῶν· καταλαβοῦσα δ' αὐτὸν ἐχόμενον ὑπ' ἀτεκνίας ὑπισχνεῖτο ἡ ἐδίδασκεν τὸν τρόπον αὐτῷ, ὄφεις καὶ σκορπίους καὶ σκολυπένδρας, εἰ γένοιντο παῖδες· ὁ γὰρ Μίνως οὔρεσκεν· καὶ ἀπέθνησκον αἱ γυναῖκες ὅσαις ἐμίγνυτο· Γασιφάνη δ' ἦν Ἡλίου θυγάτηρ ἀθάνατος· ἥγ' οὖν Πρόκρις ὑπὸ τῇ γονῇ τοῦ Μίνωος, μηχανᾶται τοιόνδε· κύστιν αἰγὸς ἐνέβαλεν εἰς γυναικὸς φύσιν, καὶ ὁ Μίνως τοὺς ὄφεις πρότερον ἐξέκρινεν εἰς τὴν κύστιν· ἔπειτα δὲ παρὰ τὴν Γασιφάην εἰσιὼν, ἐμίγνυτο· καὶ ἐπεὶ αὐτοῖς ἐγένοντο παῖδες, ὁ Μίνως

ἔσχεν

διδοῖ

διδοῖ τῇ Πρόκριδι τὸν ἄκοντα καὶ τὸν κύνα. τούτους δὲ οὐδὲν ἐξέφυγε θηρίον, ἀλλὰ πάντα ἐχειροῦντο· καὶ ἡ Πρόκρις δεξαμένη, ἀφίκετο εἰς Θορικὸν τῆς Ἀττικῆς, ὅπου ᾤκει ὁ Κέφαλος· ὃς σὺν αὐτῷ ἐκυνηγέτει, ἐξαλλαξάσα τὴν ἐσθῆτα, καὶ τὴν κουρὰν τῆς κεφαλῆς εἰς ἄνδρα. καὶ οὐδεὶς αὐτὴν ἰδὼν ἐγνώρισε. Κέφαλος δὲ ἰδὼν ὅτι αὐτῷ μὲν οὐδὲν ἐπετύγχανε τῶν πρὸς τὴν θήραν, ἅπαντα δὲ συνέφερε πρὸς τὴν Πρόκριν, ἐπεθύμησεν αὐτὸς τὸν ἄκοντα τοῦτον λαβεῖν· ὃς προσυπέσχετο δώσειν, εἰ αὐτῇ τῆς ὥρας ἐθελῆσαι τῆς ἑαυτοῦ χαρίσασθαι· ὁ δὲ Κέφαλος παρέχεται τὸν λόγον, καὶ ὅτε κατεκλίνησαν ἐξέφηνεν ἑαυτὴν ἡ Πρόκρις, καὶ ὠνείδισε τὸν Κέφαλον, ᾗ αὐτὸς πολὺ αἴσχιον ἐξαμάρτοι. Καὶ τὸν μὲν κύνα καὶ τὸν ἄκοντα λαμβάνει Κέφαλος· Ἀμφιτρύων δὲ χρήζων τοῦ κυνὸς, ἐξίκετο παρὰ τὸν Κέφαλον, εἴγε ἐθελήσειεν ἅμα αὐτῷ ἰνδὶ τὴν Ἀλώπεκα βῆναι σὺν τῷ κυνὶ, καὶ ὑπέσχετο τῆς λείας ἀμφιτρύων ἀχρίσειν τῷ Κεφαλῷ τὴν μοῖραν, ἣν ἂν ἐκ τῶν τηλεβόων λάβῃ· ἐφάνη γὰρ ἐν χρόνῳ τούτῳ Καδμείοις ἀλώπηξ, χρῆμά τι ἐξηλλαγμένον· αὕτη συνεχῶς ἐκ τοῦ Τευμησσοῦ κατιοῦσα, πολλάκις τοὺς Καδμείους ἡρπάζετο· καὶ αὐτῇ προὐτίθεσαν παιδίον διὰ τριακοστῆς ἡμέρας· ἡ δὲ κατήσθιε

λαμβάνουσα, καὶ ἐπειδὴ Αμφιτρύωνος ἰόντος ἐδεήθη Καδμείων ὑπὲρ τηλεβόας αὐτῷ συστρατεῦσαι, καὶ οἱ δ' οὐκ ἔφασαν εἰ μὴ αὐτοῖς τὴν ἀλώπεκα συνεξέλοι, συντίθεται Αμφιτρύων ὑπὲρ τούτοις πρὸς τοὺς Καδμείους· ὁ ἐλθὼν πρὸς τὸν Κέφαλον, ἔλεγεν τὴν συνθήκην. καὶ ἔπειθε βῆναι εἰς ἆσον τῷ κυνί· ὁ δὲ Κέφαλος ἀποδέχεται, ὁ ἐλθὼν κυνηγετεῖ τὴν ἀλώπεκα, ἣν δὲ θεμιτὸν, οὔτε τὴν ἀλώπεκα καταληφθῆναι ὑπό τινος διώκοντος· οὐδὲ τὸν κύνα ἐκφυγεῖν διωκόμενον οὐδέν· ἐπεὶ δὲ ἐγένοντο ἐν τῷ πεδίῳ τῶν Θηβαίων, Ζεὺς ἰδὼν, ἐποίησεν ἀμφοτέρους λίθους.

Τέλος τῆς Ἀντωνίνου Λιβέραλις Μεταμορφώσεων συναγωγῆς.

ΦΛΕ

ΦΛΕΓΟΝΤΟΣ ΤΡΑΛ-
λιανοῦ ἀπελευθέρου καίσαρος περὶ θαυμασίων καὶ μακροβίων.

* * *

Ἐλλείπει τινά. vid. Annot. p. 316.

εἰς τὴν ξενῶνα προσπορεύεται ταῖς θύραις, καὶ καιομένου τοῦ λύχνου, καθημένην ἴδεν τῆς ἄνθρωπον παρὰ τῷ Μαχάτῃ· οὐκ ἔτι δὲ καρτερήσασα πλείονα χρόνον δὲ τὸ θαυμαστὸν τῆς φαντασίας, τρέχει πρὸς τῆς μητέρα, καὶ βοήσασα μεγάλῃ τῇ φονῇ, Χαριτοῖ καὶ Δημόστρατε, ᾤετο δεῖν ἀναστάντας, καὶ τῆς θυγατέρα αὐτοὺς μετ' αὐτῆς πορεύεσθαι· πεφηνέναι γὰρ ζῶσαν, εἶναί τε μετὰ τοῦ ξένου διαί τινα θείαν βούλησιν ἐν τῷ ξενῶνι· τῆς δὲ χαριτοῦς παράδοξον λόγον ἀκούσης, συνέβη τὴν ψυχὴν τὸ μὲν πρῶτον ἐκπλαγῆ γενομένην ἐκλυθῆναι, διὰ τὸ μέγεθος τῆς ἀγγελίας, καὶ διὰ τὴν ταραχὴν τῆς τροφοῦ· μετὰ μικρὸν δὲ μνησθεῖσαν τῆς θυγατρὸς, κλαίειν· τὰ δὲ ἔσχατα καταγνῶναι τῆς πρεσβύτιδος μανίαν, κελεύειν τε ἀπαλλάττεσθαι ἀπ' αὐτῆς ταχέως· ὀνειδιζούσης δὲ τῆς τροφοῦ, καὶ λεγούσης μετὰ παῤῥησίας, ὡς μὲν

φονεῖ τε καὶ ὑγιής ἐστιν· εἰ δὲ δι' ὄκνον οὐ βούλοιτο
τὴν ἰδίαν θυγατέρα ἰδεῖν, μόλις ἡ Χαριτὼ τὰ
μὲν βιασθεῖσα ὑπὸ τῆς τροφοῦ, τὰ δὲ εἰδεῖται
βουλομένη τὸ συμβεβηκός, παραγίνεται πρὸς
τὰς θύρας τῶν ξενῶνος, διὰ τὸ γεγονέναι πλείο-
να χρόνον, ὡς ἂν δευτέρας ἀγγελίας συντετε-
λεσμένης, ὀψέ ποτε ἧκεν ἡ Χαριτώ· Διὸ συνέ-
βαινεν ἐκείνους μὲν ἤδη ἀναπαύεσθαι. Ἀνακύψα-
σα δ' οὖν ἡ μήτηρ τὰ μὲν ἱμάτια, καὶ τὸν τύ-
πον τῆς ὄψεως, ἐνόμιζεν ὑπηγινώσκειν· τὴν δὲ
ἀλήθειαν ἐξετάσαι κατ' οὐδένα τρόπον δυνα-
μένη, τὴν ἡσυχίαν ᾤετο δεῖν ἔχειν. προϊγὰρ
ἤλπιζεν ἀναστᾶσα, καταλήψεσθαι τὴν ἄνθρω-
πον· ἐὰν δὲ ὑστερήσῃ, διερωτήσειν τὸν Μαχαί-
την περὶ πάντων· οὐ γὰρ ἄν ποτε ψεύσασθαι τη-
λικαύτην πρᾶξιν ἐρωτώμενον αὐτὸν· διόπερ
σιωπήσασα, ἀπῆλθεν· Ὄρθρου δὲ γενομένου, τὴν
μὲν εἴτε διὰ θείαν βούλησιν, εἴτε κατ' αὐτοματισμὸν
λαθοῦσαν, ἀπελθεῖν συνέβη. τῆς δὲ παραγινομέ-
νην, διὰ τῆς ἀπόλυσιν δυσφορεῖν, τῷ νεανίσκῳ καὶ
τῷ ξένῳ πάντα ἐξ ἀρχῆς ἐξηγησαμένην, ἀξιοῦν
περὶ τὰ γόνατα περιπλεκομένην τῶν Μαχάτου,
τὴν ἀλήθειαν εἰπεῖν, μηδὲν ἀποκρυψαμένην· ὁ δὲ
νεανίσκος ἀγωνιάσας, τὴν ἀρχὴν μὲν διετα-
ράχθη· μόλις δέ ποτε τὸ ὄνομα διεσάφησεν,
ὅτι Φιλίννιον εἴη· καὶ τὴν ἀρχὴν διηγήσατο τῆς

εἰσόδου

εἰσόδου, καὶ τὴν ἐπιθυμίαν αὐτῆς ἐδήλουσεν ὡς ἥκει, ὅτι λάθρα τῶν γεννησάντων ἔφη παραγίνεσθαι πρὸς αὐτὸν· τά τε ὑπολειμμένα ὑπὸ τῆς ἀνθρώπου βουλόμενος ποιῆσαι τὸ πρᾶγμα πιστὸν, ἀνόιξας τὸν ῥίσκον, ἐξαιρεῖ τόν τε δακτύλιον τὸν χρυσοῦν, ὃν ἔλαβε παρ' αὐτῆς, καὶ τὴν στηθοδεσμίδα, ἣν ἀπελελοίπει τῇ πρότερον νυκτὶ· ὡς δὲ εἶδεν ἡ Χαριτώ τηλικαῦτα σημεῖα, ἀναβοᾷ, καὶ διαῤῥήξασα ἑαυτῆς τά τε ἐνδύματα καὶ τὸ ἱμάτιον, ἀπό τε τῆς κεφαλῆς ῥίψασα τὸν κεκρύφαλον, πεσοῦσαί τε εἰς τὴν γῆν, καὶ περιχυθεῖσα τοῖς γνωρίσμασιν, ἐξ ἀρχῆς ἐποιεῖτο πένθος. Θεωρῶν δὲ ὁ ξένος τὸ γινόμενον, καὶ πάντας ὄντας ὑπερπαθεῖς, καὶ θρηνοῦντας, ὡσανεὶ νυῦ μέλλοντας κατορύττειν τὴν ἄνθρωπον, συνεχεῖτο, καὶ παρεκάλει δεόμενος παύσασθαι· ἐπαγγελλόμενος ἐὰν παραγένηται, δείξειν αὐτὴν· ἡ δὲ πεισθεῖσα, καὶ ἐντειλαμένη αὐτῷ φροντίσαι μὴ παρέργως τῶν ἐπηγγελμένων, ἀπελύθη πρὸς αὐτὴν. Νυκτὸς δὲ ἐπιγενομένης καὶ τῆς ὥρας οὔσης καθ' ἣν ἡ Φιλίννιον εἰώθει παραγίνεσθαι πρὸς αὐτὸν· οἱ μὲν προσετήρουν, εἰδῆσαι θέλοντες τὴν ἄφιξιν· ἡ δὲ ἧκεν· εἰσελθούσης δὲ κατὰ τὸν εἰθισμένον καιρὸν, καὶ καθεζομένης ἐπὶ τὴν κλίνην, οὐδὲν προσποιηθεὶς ὁ Μαχάτης, ἐξετάσαι δὲ τὸ πρᾶγμα

βουλόμενος, τὸ πλέον οὐ πιστεύων, εἰ νεκρᾷ πλη-
σιάζοι, οὕτως ἠθιμελῶς πραγινομένῃ κατὰ τὸν
αὐτὸν καιρὸν, ἔτι δὲ δειπνούσης μετ' αὐτοῦ, καὶ
συμπινούσης, ἀπίστως εἶχεν οἷς ἐκεῖνοι προήγγει-
λαν· ᾤετο δὲ νεκρορύκτας τινὰς διωρυχέναι τὸν
τάφον, καὶ πεπρακέναι τὰ ἱμάτια καὶ τὰ
χρύσια τοῦ πατρὶ τῆς ἀνθρώπου· βουλόμε-
νος οὖν τὴν ἀκρίβειαν εἰδῆσαι, πέμπει τοὺς
παῖδας λάθρα καλοῦντας αὐτοὺς· ταχέως
δὲ πραγενομένων τοῦ τε Δημοστράτου καὶ τῆς
Χαριτοῦς, ἰδόντων τὲ αὐτὴν καὶ γενομένους
τὸ μὲν πρῶτον ἀφώνων τὲ καὶ ἐκπλαγῶν διὰ
τὸ πράδοξον τῆς ὄψεως, ὕστερον δὲ ἀναβοησάντων
μέγα, καὶ περιπεσόντων τῇ θυγατρὶ· τότε ἡ
» Φιλίννιον τοσαῦτ' εἶπεν αὐτοῖς. Ὦ μῆτερ καὶ
» πάτερ, ὡς ἀδίκως ἐφθονήσατέ μοι μετὰ τοῦ
» ξένου ἠθὶ τρεῖς ἡμέρρας γενέσθαι ἐν τῇ πα-
» τρῴᾳ οἰκίᾳ λυποῦσαν οὐδὲν· τοιγαροῦν ὑ-
» μεῖς μὲν πενθήσετε ἐξ ἀρχῆς, διὰ τὴν πο-
» λυπραγμοσύνην· ἐγὼ δὲ ἄπειμι πάλιν εἰς
» τὸν διατεταγμένον τόπον. Οὐ γὰρ ἄνευ θείας
» βουλήσεως ἦλθον εἰς ταῦτα. Τοσαῦτα εἰποῦ-
σα, πραχρῆμα ἐγένετο νεκρὰ, ἐξετέτατό τε
ἐπὶ τῆς κλίνης ἐμφανὲς τὸ σῶμα· τῆς δὲ μη-
τρὸς περιχυθείσης, καὶ τοῦ πατρὸς περὶ αὐτὴν,
καὶ θορύβου πολλοῦ καὶ θρήνου κατὰ τὴν
οἰκίαν

οἰκίαν γενομένου διὰ τὸ πάθος, ὡς ἀνηκέστου γεγονότος θεάματος, ἅμα τε ἀπίστου συμπτώματος, ταχέως ἐγένετο δὲ πόλεως τὸ πρᾶγμα περιβόητον, καί μοι προσηγγέλη. Τὴν μὲν οὖν νύκτα ἐκείνην διακατέσχον ἐγὼ τοὺς ὄχλους, ἀθροιζομένους ἐπὶ τὴν οἰκίαν, εὐλαβηθεὶς μήτις εἴη νεωτερισμὸς, διαδεδομένης τοιαύτης φήμης· ὄρθρου δὲ βαθέος πλῆρες ἦν τὸ θέατρον. Ῥηθέντων δὲ πάντων κατὰ μέρος, ἔδοξεν πρῶτον εἰσελθεῖν ἐπὶ τὸν τάφον ἡμᾶς, καὶ ἀνοίξαντας εἰδῆσαι, πότερον εἴη τὸ σῶμα ἐπὶ τῆς κλίνης, ἢ κενὸς τόπον εὑρήσομεν· οὐδὲ γὰρ ἐξαίμηνος ἐγεγόνει τῷ θανάτῳ τῆς ἀνθρώπου· ἀνοιχθείσης δὲ ὑφ' ἡμῶς τῆς καμάρας, εἰς ἦν πάντες οἱ οἰκεῖοι μεταλλάσσοντες ἐτίθεντο, ἐπὶ μὲν τῶν ἄλλως κλινῶν ἐφαίνη τὰ σώματα κείμενα, τῶν δὲ παλαιτέρως τετελευτηκότων τὰ ὀστᾶ· ἐπὶ μόνης δὲ ἧς ἡ Φιλίννιον ἐτέθη καὶ συνέβη ταφῆναι, εὕρομεν ἐνθικείμενον τὸν δακτύλιον τὸν σιδηροῦν, ὃς ἦν τοῦ ξένου, καὶ τὸ χρυσόκλυστον ποτήριον, ἅπερ ἔλαβε παρὰ τοῦ Μαχαίτου τῇ πρώτῃ τῶν ἡμερῶς· θαυμαίσαντες δὲ καὶ ἐκπλαγέντες, εὐθέως παραγενόμεθα πρὸς τὸν Δημόστρατον εἰς τὸν ξενῶνα, ὀψόμενοι τὴν νεκρὰν εἰ κατ' ἀλήθειαν ἐμφανής ἐστιν· ἰδόντες δὲ χαμαὶ κειμένην,

εἰς τὴν

εἰς τὴν ἐκκλησίαν ἠθροίζόμεθα· τὰ γὰρ γεγονότα μεγάλα τέλῶ καὶ ἄπιστα. Θορύβδ δὲ ὄντος ἐν τῇ ἐκκλησίαν, καὶ χεδὸν ἀδενὸς δυναμένδ κρῖναι τὰ πράγματα, πρῶτος ὑμῶν ὀνομαζόμενος πρὸς ἡμῶν, ὁ μόνον μάντις ἄριστος, ἀλλὰ καὶ οἰωνοσκόπος κομψὸς εἶναι, τά τε ἄλλα σωφρονικῶς ἐν τῇ τέχνῃ πεπαῖδως, ἀνασὰς ἐκέλευσεν τὴν μὲν ἀνθρωπον, κατακλείσαν ἐντὸς θείων, (ὁ γὰρ συμφορῶν ἐπὶ τούτῳ ἐντὸς θείων τεθῆναι εἰς χρῶ· ἀκροπάσασθαι δὲ Ἑρμῆ χθονίου καὶ Εὐμενίδας·) εἶτα οὕτω σὺν ἅπασι θαίρεσθε πάντας· ἁγνίσαι δὲ καὶ τὰ ἱερά, ἢ ὅσα θεοῖς χθονίοις νομίζεται σωτῆρα χρῆσαι ἐπέταξεν· ἐμοί τε ἰδίᾳ εἶπεν περὶ τοῦ βασιλέως καὶ τῶν πραγμάτων, θύσαι τε Ἑρμῆ, Διί τε Ξενίῳ καὶ Ἀρεῖ· © χρῆσθαι τελεῖν ταῦτα μὴ πρόσθεν. Ταῦτα δὲ ἀκούσαντος τότε, τὸ μὲν χρηστήριον ἡμεῖς ἐπράξαμεν· ὁ δὲ ξένος ὁ Μαχάτης, πρὸς ὃν ἐφέρετο τὸ φάσμα, ὑπ' ἀθυμίας ἑαυτὸν ἐξήγαγεν τοῦ ζῆν· ἐὰν οὖν σοι φαίνηται περὶ τούτων γράψαι τῷ βασιλεῖ, ἐπίσταθον καμοί, ἵνα καὶ τῶν σωμάτων πανὰ τῶν ἱερουργούντων τὰ κατὰ μέρος, ἐξαποστέλλωσι. ἔρρωσο.

Ἱστορεῖ δὲ καὶ Ἱέρων ὁ Ἀλεξανδρεὺς ἢ Ἐφέσιος, καὶ ἐν Αἰτωλίᾳ φάσμα γενέσθαι· Πολύκριτος

κριτος γάρ τις τῶν πολιτῶν, ἐχειροτονήθη ὑπὸ τοῦ δήμου Αἰτωλάρχης, ὑπὲρ τρία ἔτη τῶν πολιτῶν αὐτῶν ἀξιωσάντων, διὰ τὴν ὑπάρχουσαν ἐκ προγόνων καλοκἀγαθίαν· ὢν δὲ ἐν τῇ ἀρχῇ ταύτῃ ἄγεται γυναῖκα Λοκρίδα, καὶ συγκοιμηθεὶς τρισὶ νυξὶ, τῇ τεταρτῇ τὸν βίον ἐξέλιπεν· ἡ δὲ ἄνθρωπος ἔμενεν ἐν τῇ οἰκίᾳ χηρεύουσα· ἡνίκα δὲ ὁ τοκετὸς ἤπειγεν, τίκτει παιδίον, αἰδοῖα ἔχον δύο ἀνδρεῖον τε καὶ γυναικεῖον, ὃ τὴν φύσιν θαυμαστῶς διηλλαγμένον· τὰ μὲν ἄνω τοῦ αἰδοίου ὁλόκληρά τε καὶ ἀνδρώδη ἦν· τὰ δὲ περὶ τοὺς μηροὺς, γυναικεῖα καὶ ἁπαλώτερα· ἐφ' ᾧ καταπλαγέντες οἱ συγγενεῖς, ἀπήνεγκαν εἰς τὴν ἀγορὰν τὸ παιδίον, καὶ συναγαγόντες τὴν ἐκκλησίαν ἐβουλεύοντο περὶ αὐτοῦ· θύτας τε καὶ τεραποσκόπους συγκαλέσαντες· τῶν δὲ οἱ μὲν ἀπεφήναντο διάστασίν τινα τῶν Αἰτωλῶν καὶ Λοκρῶν ἔσεσθαι· κεχωρίσθαι γὰρ ἀπὸ μητρὸς οὔσης Λοκρίδος, καὶ πατρὸς Αἰτωλοῦ· οἱ δὲ δεῖν ᾤοντο, τὸ παιδίον καὶ τὴν μητέρα ἀπενεγκόντας εἰς τὴν ὑπερορίαν, κατακαῦσαι. Ταῦτα δὲ αὐτῶν βουλομένων, ἐξαίφνης φαίνεται ὁ Πολύκριτος ὁ προτεθνηκὼς ἐν τῇ ἐκκλησίᾳ, πλησίον τοῦ τέκνου, ἔχων ἐσθῆτα μέλαιναν· τῶν δὲ πολιτῶν καταπλαγέντων ὑπὲρ τῇ φαντασίᾳ, καὶ πολλῶν εἰς φυ-

γὴν

γὴν τραπομένων, παρεκάλεσε τοὺς πολίτας θαῤῥεῖν, καὶ μὴ ταράττεσθαι ἐπὶ τῷ γεγονότι φάσματι. Ἐπεὶ δὲ ἔληξε τὸ πλέον τοῦ θορύβου καὶ τῆς ταραχῆς, ἐφθέγξατο λεπτῇ τῇ φωνῇ τάδε. Ἐγὼ ἄνδρες πολῖται, τοῦ μὲν σώματι τέθνηκα, τῇ δὲ εὐνοίᾳ καὶ τῇ χάριτι πρὸς ἡμᾶς, ζῶ· καὶ νῦν πάρειμι πρὸς ὑμᾶς τοὺς κυριεύοντας τῶν κατὰ γῆν, ἐπὶ τοῦ συμφέροντι τοῦ ὑμετέρῳ· παρακαλῶ τοίνυν ὑμᾶς, πολίτας ὄντας ἐμοῦ, τοῦ μὴ ταράττεσθαι, μηδὲ δυσχεραίνειν, ἐπὶ τοῦ παραδόξῳ γεγονότι φάσματι· δέομαι δὲ ὑμῶν ἁπάντων κατευχόμενος πρὸς τῆς ἑκάστου σωτηρίας, ἀποδοῦναί μοι τὸ παιδίον τὸ ἐξ ἐμοῦ γεγεννημένον, ὅπως μηδὲν βίαιον γένηται, ἄλλό τι βουλευσαμένων ὑμῶν· μὴ δ' ἀρχὴ πραγμάτων δυσχερῶν καὶ χαλεπῶν, διὰ τὴν πρὸς ἐμὲ φιλονεικίαν ὑμῖν γένηται· οὐ γὰρ ἐνδέχεταί με περιϊδεῖν κατακαυθὲν τὸ παιδίον ὑφ' ὑμῶν, διὰ τὴν τῶν ἐξαγγελλόντων ὑμῖν μάντεων ἀποπληξίαν· συγγνώμην μὲν οὖν ὑμῖν ἔχω, ὅτι τοιαύτην ὄψιν ἀπροσδόκητον ἑωρακότες, ἀπορεῖτε πῶς ποτε τοῖς παρροῦσι πράγμασιν ὀρθῶς χρήσεσθε. Εἰ μὲν οὖν ἐμοὶ πεισθήσεσθε, ἀδεῶς τῶν παρόντων φόβων, καὶ τῶν ἐπερχομένων κακῶν, ἔσεσθε ἀπηλλαγμένοι. Εἰ δὲ ἄλλως πῶς τῇ

γνώμῃ

γνώμῃ προσπεσεῖσθε, φοβοῦμαι περὶ ὑμῶν, «
μήποτε εἰς ἀνηκέστους συμφορὰς ἀπειθοῦντες «
ἡμῖν ἐμπέσητε. Ἐγὼ μὲν οὖν διὰ τὴν ὑπάρ- «
χουσαν εὔνοιαν, ὅτ' ἔζων καὶ νῦν ἀπροσδοκή- «
τως πρὼν, προείρηκα τὸ συμφερὸν ὑμῖν. ταῦτ' «
οὖν ὑμᾶς ἀξιῶ, μὴ πλείω με χρόνον πρέλ- «
κειν, ἀλλὰ βουλευσαμένους ὀρθῶς, καὶ πειθέν- «
τας τοῖς εἰρημένοις ὑπ' ἐμοῦ, δοῦναί μοι μετ' «
εὐφημίας τὸ παιδίον. Οὐ γὰρ ἐνδέχεταί μοι «
πλείονα μηκύνειν χρόνον διὰ τοὺς κατὰ γὴν «
ὑπάρχοντας δεσπότας. Ταῦτα δὲ εἰπὼν,
ἡσυχίαν ἔσχεν ἐπ' ὀλίγον, καραδοκῶν ποίαν
ποτὲ ἐξοίσουσιν αὐτοῦ γνώμην περὶ τῶν
ἀξιουμένων. τινὲς μὲν οὖν ᾤοντο δεῖν ἀποδοῦναι
τὸ παιδίον, καὶ ἀφοσιώσασθαι τότε φασ- averruncare
μα, καὶ τὸν ἐνιστάντα δαίμονα. οἱ δὲ πλεῖστοι
ἀντέλεγον, ἐνδὶ σχολῆς δεῖν βουλεύσασθαι
φαίσκοντες ὡς ὄντος μεγάλου τοῦ πράγ-
ματος, καὶ οὐ τῆς τυχούσης αὐτοῖς ἀπο-
ρίας. Συνιδὼν δὲ αὐτοὺς οὐ προσέχοντας,
ἀλλ' ἐμποδίζοντας αὐτοῦ τὴν βούλησιν,
ἐφθέγξατο αὖθις τάδε. Ἀλλ' οὖν γε, «
ὦ ἄνδρες πολῖται, ἐὰν ὑμῖν συμβαίνῃ τὶ «
τῶν δυσχερεστέρων διὰ τὴν ἀβουλίαν, «
μὴ ἐμὲ αἰτιᾶσθε, ἀλλὰ τὴν τύχην τὴν οὕ- «
τως ἐνδὶ τὸ χεῖρον ὑμᾶς ποδηγοῦσαν. «

ἥτις

» ἥπερ ἀναπεμφθήναι, πρανομεῖν ἀναγκάζῃ
» μεθ' ἑαυτοῦ τὸ ἴδιον τέκνον. Τοῦ δὲ ὅλου σωφρονί-
ζοντος, καὶ τοῦ τε ἄρσενος τὸ τόραβος ἐχθροῦ, ὡς λα-
βόμενος τοῦ παιδίου, καὶ εἰς τὸ πλείστους αὐτῷ
ἀνέξας ἱματιφόρου, διέσωσέ τε αὐτὸ καὶ
ἦλθε κρατήσας δὲ γενομένης, καὶ λίθων ἐπ' αὐ-
τὸν ἐκριπτομένων, ὑπελάμβανον τροπὴν αὐτοῦ
τοιήσασθαι. ὁ δὲ ἀπληκτος ὢν ὑπὸ τῶν λίθων, τὸ
σῶμα πᾶν τοῦ παιδίου καταναλώσει πλὴν τῆς
κεφαλῆς, καὶ αὐτίκα ἀφανὴς ἐγένετο. Διαφορουμένων δὲ αὐτὴν ὡδὶ τοῖς γενομένοις καὶ ἡ
ἀρχαία καθεσηκότων ὑπὸ τῆς τύχης βουλομέ-
νων τὰ ἀρχεῖα λαμβάνειν εἰς Δελφοὺς, φθέγγεται ἡ κε-
φαλὴ τοῦ παιδίου ὡδὶ τοῦ ἐξ ἄφρας ἡμῶν, καὶ
λέγει χρησμῷ τὰ ἀρχεῖα σύμβολα.

Ὦ πολυύμνητον ναίων χθόνα λαὸς ἀπείρων,
Μὴ σεῖο ἐς Φοίβου τέμενος ναόν τε θυώδη,
Οὐ γάρ σοι καθαραὶ χέρες αἵματος αἰ-
θέρ' ἔχουσιν,
Ἀλλά μύσος πεπάροιθε πόδων σῶν τοῦδε
κεκλύθι,
Φράζεο δ' ὅθεν ἐμέθεν, τείποθεν δ' ἀπόφτε
κέλευθον,
Μαντοσύνης πᾶσαν γὰρ ἐφετμιόωσι καταλέξω.
Ἡματι δ' τούτῳ περιτελλομένου σὺν αὐτῷ,
Ὥρισται

Ὥρισται πᾶσιν θάνατος (ψυχαὶ δὲ βίον)
Λοκρῶν Αἰτωλῶν τ' ἀναμὶξ βουλῇσιν
Ἀθήνης,
Οὐδ' ἀναπαύλησις κακοῦ ἔσσεται, οὐδ'
ἠβαιόν.
Ἤδη γὰρ ψεκάδες φόνιαι κατὰ κρᾶτα κέ-
χυνται·
Νὺξ δὲ ὑπὲ πάντα κέκευθε, μέλας δ' ὑπὲ-
δέδρομεν αἴθρη·
Αὐτίκα νὺξ δὲ ἔρεβος πᾶσαν κατὰ γαῖαν
ὄρωγεν,
Χήροι δ' ὄκοι πάντες ἐπ' οὐδεῖ γῆα κλι-
νοῦσιν,
Οὐδὲ γυνὴ πένθος ποτὲ λείψεται, οἰδένυ
παῖδες,
Ἐν μεγάροις γόωσι φίλους πατέρας περι-
φῶντες·
Τοῖον γὰρ τόδε κῦμα κατέσταμε πᾶσι κατ'
ἄκρης,
Αἰ αἰ πατρίδ' ἐμὴν ἀιεὶ στένω, αἰνὰ πα-
θοῦσαν,
Μητέρα τ' αἰνοτάτην, ἣν ὕστερον ἔκλυσεν
αἰών,
Νώνυμόντε θεοὶ γένεσιν θήσουσιν ἅπαντες·
Λοκρῶν τ' Αἰτωλῶν τ' ὅτι που καὶ σπέρμα
λίποιτο,

Οὕνεκ' ἐμὴν κεφαλὴν λίποι αἰὼν, οὐδένυ πάντα,
Σώματος ἠφάνικεν μέλε' ἄκριτα, λεῖπε δὲ γαῖαν,
Ἀλλά γ' ἐμὴν κεφαλὴν θέμεν' Ἠοῖ φαινομένῃφι·
Μὴ δέ θ' ὑπὸ ζοφερὴν γαῖαν κατακρυπτέμεν ἔνδον·
Αὐτοὺς δὲ πολιπόντας ἑὸν χῶρον μετ' ὄπισθεν,
Στείχειν εἰς ἄλλον χῶρον καὶ λαὸν Αθήνης,
Εἴ τινα ποῦ θανάτοιο λύσιν κατὰ μοῖραν ἕλησθε.

Ἀκούσαντες δὲ οἱ Αἰτωλοὶ τοῦ χρησμοῦ, γυναῖκας μὲν καὶ τὰ νήπια τέκνα, τούς τε ὑπεργήρως ὑπεξέθεντο οὗ ἕκαστος ἐδύνατο· αὐτοὶ δὲ ἔμενον, καραδοκοῦντες τὰ ἀχθησόμενον, καὶ συνέβη τῷ ἑξῆς ἔτει Αἰτωλοῖς καὶ Ἀκαρνᾶσι συστῆναι πόλεμον, καὶ φθορὰν πολλὴν ἑκατέρων γενέσθαι.

Ἱστορεῖ δὲ καὶ Ἀντισθένης Περιπατητικὸς φιλόσοφος, Ἀκείλιον Γλαβρίωνα τὸν ὕπατον, μετὰ πρεσβευτῶν Πορκίου Κάτωνος, καὶ Λουκίου Οὐαλερίου Φλάκκου, παραταξάμενον Ἀντιόχῳ ἐν Θερμοπύλαις, γενναίως τε ἀγωνισάμενον, βιάσασθαι, ῥῖψαι μὲν τὰ ὅπλα τοῦ

μετ'

μετ' Ἀντιόχου· αὐτὸν δὲ τὰ μὲν πρῶτα εἰς Ἀτα-
λίαν μετὰ πεντακοσίων ὑπασπιστῶν φυγεῖν·
ἐκεῖθεν δὲ πάλιν εἰς Ἔφεσον ἀναγκάσαι ὑπεξ-
ελθεῖν· ὁ δὲ Ἀκείλιος Καίτωνα μὲν εἰς Ῥώμην
ἀπέστειλεν, ἀπαγγελοῦντα τὴν νίκην· αὐ-
τὸς δὲ ἐπ' Αἰτωλοὺς καθ' Ἡράκλειαν ἐστρα-
τεύσεν, ὧν ἐξ εὐμαίρους ἔλαβεν· ἐν δὲ τῇ πρα-
τάξει τῇ γενομένῃ πρὸς Ἀντίοχον ἐν Θερμοπύ-
λαις, ἀθιφανέστατα σημεῖα ἐγένετο Ῥωμαίοις·
ἀθιφανέντος γὰρ Ἀντιόχου, καὶ φυγόντος τῇ
ἀθιούσῃ ἡμέρᾳ, ἐγίνοντο οἱ Ῥωμαῖοι περὶ ἀναί-
ρεσιν τῶν ἐκ τῆς σφετέρας δυνάμεως πεπτω-
κότων, καὶ περὶ συλλογὴν λαφύρων τὲ καὶ
σκύλων καὶ αἰχμαλώτων· Βούπλαγος δέ
τις τῶν ἀπὸ Συρίας ἱππάρχης, τιμώμενος
πρὰ τῷ βασιλεῖ Ἀντιόχῳ, ἔπεσε καὶ αὐτὸς
γενναίως ἀγωνισάμενος· ἀναιρουμένων δὲ τῶν
Ῥωμαίων πάντα τὰ σκῦλα, καὶ μεσούσης τῆς
ἡμέρας, ἀνέστη ὁ Βούπλαγος ἐκ τῶν νεκρῶν,
ἔχων τραύματα δέκα δύο, καὶ παραγενόμενος
εἰς τὸ στρατόπεδον αὐτῶν, ἀνεῖπε λεπτῇ φωνῇ
τοὺς δὲ τοὺς στίχους·

Παῦσαι σκυλεύων στρατὸν ἄϊδος εἰς χθόνα
βάντα,
Ἤδη γὰρ Κρονίδης νεμεσᾷ Ζεὺς μέρμερα
λεύσσων,

Μηνύει δὲ φόνῳ στρατὸς καὶ σοῖσιν ἐπ᾽ ἔργοις,
Καὶ πέμψῃ φῦλον θρασυκάρδιον εἰς χθόνα τὴν σὴν,
Οἳ σ᾽ αὐχῆς παύσουσιν, ἀμείψῃ δ᾽ οἷά γ᾽ ἔρεξας.

Ταραχθέντες δὲ οἱ στρατηγοὶ ὠδὶ τοῖς ῥηθεῖσιν, σὺν ταχέων σωκήλαγον τὸ πλῆθος εἰς ἐκκλησίαν· καὶ ἐβδελύσσοντο πρὸς τὸ γεγονότος φάσματος. ἔδοξεν οὖν τὸν μὲν βέβηλον πρᾶγμα μηδὲ τὰ λεχθέντα ἐπὶ ἀκριβοῦσθαι, κατακαύσαντας θάψαι· καθαρμὸν δὲ ποιήσαντας τῇ στρατοπέδῳ, θῦσαι Διὶ ἀστεροπαίῳ, καὶ πέμψαι εἰς Δελφοὺς, ἐρωτήσοντας τὸν θεὸν τί χρὴ ποιεῖν. παραγενομένων δὲ πυθῶδε τὴν θεωρῶν, καὶ τῶν θανομένων τί ποιητέον, ἀνεῖπεν ἡ Πυθία τόνδε τὸν χρησμόν·

Ἴρεο νικῶν ῥωμαῖε, δίκη δέ τοι ἔμμονος ἔσω,
Μήσοι ἐφορμήσῃ Παλλὰς πολὺ φέρτερον Ἄρη·
Χηρώσῃ δ᾽ ἀγορὰς· σὺ δὲ νήπιε πολλὰ μογήσας,
Ἵξεαι εἰς χώρην τὴν σὴν, πολλὸν ὄλεσσας.

Ἀκούσαντες οὖν τοῦ λόγου τούτου, τὸ μὲν ὠδὶ στρατοῦσαι ἐπί τινα τὴν ὑπὸ τῇ Εὐρώπῃ κατοικοῦ-

τοικιώτων, ἀπέγνωσαν τὸ παράπαν· ἀναζεύξαντες δ' ἀπὸ τοῦ προφημίου τόπου, παρεγένοντο ἐπὶ Ναύπακτον τῆς Αἰτωλίας, ὅ ἐστιν ἱερὸν κοινὸν τῶν Ἑλλήνων, οὐ τρεπόντων θυσίας δημοτελεῖς ἀπό τε ἄλλου ἔθνους. Τούτων δὲ ἐπιτελουμένων ὁ στρατηγὸς Τόωλιος ἐμμανὴς γενόμενος καὶ παράφρων, ἀπαγγέλλεται πολλά τινα οὐθουσιωδῶς, τὰ μὲν οὐ μέτρῳ, ἔστιν δ' ἃ καταλογάδην· διαγγελθέντος δὲ τοῦ τοιούτου πράγματος, συνέθεον πάντες πρὸς τὸν σκηνὸν τοῦ Τοωλίου, ἅμα μὲν ὑπανθρωπιοῦντες ἐπιστοωλημένοι, ἵνα τοῦ θεοῦ κράτιστον αὐτὸν μὴ δυνάμενον ἀφηγεῖσθαι μετ' ἐμπειρίας, ἡτυχηκέναι, ἅμα δ' ἀκούειν βουλόμενοι τὰ λεγόμενα· ὥστε πάνας αὐτὸν περιθέντας βιαιότερον, ἀπαγαγεῖν. Τὰ μὲν οὖν οὕτω οὐ μέτρῳ ῥηθέντα ὑπ' αὐτοῦ, ἔπ ὄντων οὐ τῇ σκηνῇ, ἔστιν τάδε·

Ὦ πατρὶς, οἷόν σοι λυγρὸν φέρω Ἄρη Ἀθλίων,
Ἡνίκα πρῆσσον Ἀσίῃ τοολύολβον ἵκηαι
Ἰταλίῃ ἐς γαῖαν εὐστεφάνους τε πόλεας,
Θρινακίῃ νῆσον τοολυήρατον, ἣν κτίσατο Ζεύς.
Ἧξε δ' στρατιὴ τοολυφόρτατος ἀθεμίθυμος,
Τηλόθεν ἐξ Ἀσίης ὅθεν ἠελίου ἀντολαί εἰσιν,
Καὶ βασιλεὺς διαθὰς σεινὸν πόρον Ἑλλησπόντου,

Ὅρκια πιστὰ ταμεῖ πρὸς κοίρανον Ἠπειρώτην·
Ἄξει δ' εἰς Ἀσίην στρατιὴν ἀνάριθμον ἀγείρας.
Πάντοθεν ἐκ τ' Ἀσίης ἠδ' Εὐρώπης ἐρατεινῆς,
Καί σε δαμᾷ· χήρους δ' οἴκους καὶ τείχεα θήσει·
Δουλοσύνην δ' ὑπὲρ πᾶσιν ἐλεύθερον ἦμαρ ἀπούρας
Τεύξει, μνήσιδος οὕνεκ' Ἀθηναίης μεγαθύμου.

Ἀνειπὼν δὲ τοὺς στίχους τούτους, ὥρμησεν ἐκ τῆς σκηνῆς ἐν χιτῶνι, καὶ ἀπεφθέγγετο καταλογάδην τάδε. Μηνύωμεν, ὦ ἄνδρες στρατιῶται καὶ πολῖται, διαβάντας ὑπὲρ τῆς Εὐρώπης εἰς τὴν Ἀσίαν, νικῆσαι ὑμᾶς τὸν βασιλέα Ἀντίοχον, ναυμαχήσαντάς τε καὶ πεζῇ παραταξαμένους· κυριεῦσαι δὲ τῆς τοῦ τάδε τοῦ Ταύρου χώρας πάσης, καὶ τῶν πόλεων τῶν ἐκτισμένων ἐν αὐτῇ, ἐκβαλόντας τὸν Ἀντίοχον εἰς Συρίαν· ταύτην δὲ παραδοθῆναι καὶ τὰς πόλεις, τοῖς Ἀττάλου υἱοῖς· Γαλάτας δὲ τοὺς κατοικοῦντας ἐν τῇ Ἀσίᾳ, παραταξαμένους πρὸς ὑμᾶς ἡσσηθῆναι· τῶν δὲ γυναικῶν καὶ τέκνων καὶ τῆς ἀποσκευῆς πάσης, κυριεῦσαι ὑμᾶς, καὶ ἀγαγεῖν εἰς τὴν Εὐρώπην· τοὺς δὲ κατοικοῦντας ἐν τῇ Εὐρώπῃ τῆς παραλίαν Θρᾷκας, τῆς τε Προποντίδος καὶ ἑλλησπόντου, ἀναλύουσιν ὑμῖν ἀπὸ τῆς στρατείας, ἐπίθεσιν ποιήσεσθαι περὶ τὴν τῶν Αἰνιάνων χώραν, καί τινας διαφθείραντας, ἀφελέσθαι μέρος

τι τῆς

τί τῆς προνομῆς· δηλουθέντων δὲ τῶν ἄλλων, καὶ κομισθέντων εἰς Ῥώμην, ἔσεσθαι συνθήκας πρὸς βασιλέα Ἀντίοχον, ἐφ' ᾧ χρήματα μὲν εἰσόισει, καὶ χώρας τινὸς ἀποστήσεται. Ἀναγορεύσας δὲ ταῦτα, ἀνακεκράγει μεγάλῃ τῇ φωνῇ λέγων τάδε. Ἐκ τῆς Ἀσίας ὁρῶ διαβαινούσας δυναμεῖς χαλκοστέρνους, καὶ βασιλέας ὑπὲρ τὸ αὐτὸ συναγομένους, καὶ ἔθνη παντοδαπὰ ἐπὶ τὴν Εὐρώπην, ἵππων τε κτύπον δοράτων τε ψόφον, καὶ φόνον αἱματόφυρτον, λεηλασίαν τε δεινὴν, πτώσεις τε πύργων καὶ τειχῶν κατασκαφὰς ἐρημίαν τε χθονὸς ἀμυθήτου. Ταῦτα δὲ εἰπὼν, ἔλεξεν αὖθις ἐν ἔπεσι τάδε·

Ἡνίκα Νισαῖαι χρυσάμπυκες ἀργέτι ἵπποι,
Βῶσιν τῶν χθόνα δῖαν, ἑὴν προλιπόντες ἐφεδρὴν,
Οὓς ποτ' ἐν ἄστει τεῦξε Συρηκοσίων πολυόλβων
Δαίδαλος Ἠετίων φιλίαν πολυήρατον αὔξων,
Δαῖτ' τῶν χαλκείῃ, δεσμοῖς δ' τῶν δεσμὸν ἴαλλεν
Χρύσεον ἐν δ' αὐτὸν πᾶσιν ὑπερίονος υἱὸν,
Ἥρμοσεν ἀκτίνεσσι καὶ ὄμμασι μαρμαίροντα·
Καὶ τότε σοὶ Ῥώμη χαλεπ' ἄλγεα πάντα τελεῖται,
Ἥξει γὰρ στρατὸς εὐρὺς, ὃς οὐ χθόνα πᾶσαν ὀλέσσει,
Χηρώσει δ' ἀγορὰς, ἄστη δέτε πυρπολαθήσει·

Αἵματι δὲ πλήσει ποταμοὺς, πλήσει δὲ καὶ ᾅδην·
Δουλοσύνην τ' οἰκτρὴν συγερὴν ἀτέκμαρτον ἐφέσσει
Οὐδὲ γυνὴ πόσιν ὅν γ' ὑποδέξεται ἐκ πολέμοιο
Νοστήσαντ', Αἴδης δὲ καταχθόνιος μελανείμων
Ἕξει ἐνὶ φθιμένοισιν ὁμοῦ τέκνα μητρὸς ἀπούρας,
Ἄρης δ' ἀλλοδαποῖς περιθήσει δούλιον ἦμαρ.

Ἀποφθεγξάμενος δὲ ταῦτα, ἐσιώπησεν, καὶ πορευθεὶς ἔξω τοῦ στρατοπέδου, ἀνέβη ἐπί τινα δρυῦ· ἐπακολουθήσαντος δὲ τοῦ ὄχλου, προσεκαλέσατο αὐτοὺς, καὶ εἶπε τάδε· Ἐμοὶ μὲν, ὦ ἄνδρες Ῥωμαῖοι, καὶ οἱ λοιποὶ στρατιῶται, καθήκει τελευτήσαντι ὑπὸ λύκου Πυῤῥοῦ εὐμεγέθους καταβρωθῆναι ἐν τῇ σίμβρον ἡμέρᾳ· ὑμεῖς δὲ τὰ ῥηθέντα ὑπ' ἐμοῦ γινώσκετε συμβησόμενα ὑμῖν πάντα, τεκμηρίοις χρώμενοι τῇ νυῦ ἐσομένῃ ἀδιφανείᾳ τοῦ θηρίου τὲ καὶ τῇ ἐμῇ ἀναιρέσει ὅτι ἀληθῆ εἴρηκα, ἔκ τινος θείας ὑποδείξεως. Τοσαῦτα δὲ εἰπὼν, ἐκέλευσεν αὐτοὺς ἀχρστῆναι, καὶ μηδένα κωλύσαι τὸ θηρίον προσελθεῖν, φαίσκων, ἐὰν ἀχρστρέψωσιν οὐ συνοίσειν αὐτοῖς· ποιήσαντος δὲ τοῦ πλήθους

τὸ προ-

τὸ προσαχθὲν οὐκ εἰς μακρὰν πραγίνεται, ὁ λύκος· ἰδὼν δὲ αὐτὸν ὁ Πόπλιος κατέβη ἀπὸ τῆς δρυὸς, καὶ ἔπεσεν ὕπτιος· ὁ δὲ λύκος ἀναχίσας αὐτὸν, κατεδαίνυτο πάντων ὁρώντων· ἀναλώσας δὲ τὸ σῶμα αὐτοῦ πλὴν τῆς κεφαλῆς ἐτραίπετο εἰς τὸ ὄρος. Προσελθόντος δὲ τοῦ ὄχλου, καὶ βουλομένου ἀνελέσθαι τὰ ἀπολελειμμένα, κτερίσαι τε αὐτὸν νομίμως, ἡ κεφαλὴ κειμένη ἐπὶ τῆς γῆς, ἀνεῖπε τοὺς στίχους τούτους·

Μὴ ψαῦ' ἡμετέρης κεφαλῆς· οὐ γὰρ θέμις ἐστὶν
Οἷσιν Αθηναίη χόλον ἄγριον ἐν φρεσὶ θῆκεν,
Ἅπτεσθαι θείοιο καρήατος, ἀλλὰ πέπαυσο,
Μαντοσύνην τ' ἐπάκουσον ἀληθέα ἥπερ ἐρεῖ σοι·
Ἥξει γὰρ χθόνα τήνδε πολὺς καὶ καρτερὸς Ἄρης·
Ὃς λαὸν μὲν ἔνοπλον ὑπὸ σκότους ἀΐδι πέμψει,
Ῥήξει δ' αὖ λιθίνους πύργους καὶ τείχεα μακρὰ·
Ὄλβον δ' ἡμέτερον καὶ νήπια τέκν' ἀλόχους τε
Μάρψας, εἰς Ἀσίην ἄξει δὲ κῦμα πορήσας·
Ταῦτά σοι εἴρηκεν νημερτέα Φοῖβος Ἀπόλλων,

Γύθιος, ὅς μοι ἑὸν κρατερὸν θεράποντ' ὠθὶ πέμψας,
Ἤγαγεν εἰς μακαίρων τὲ δομοὺς καὶ Γερσεφονείης.

Ἀκούσαντες δὲ τῶν ἐπῶν τούτων, οὐ μετρίως ἐταράχθησαν, ἱδρυσάμενοί τε ναὸν Ἀπόλλωνος λυκίου, καὶ βωμὸν οὗπερ ἔκειτο ἡ κεφαλὴ, ἐνέβησαν εἰς τὰς ναῦς, καὶ ἀπέπλεον ἕκαστος ὠθὶ τὰς ἑαυτῶν πατρίδας, καὶ συνέβη ἅπαντα τὰ ὑπὸ τοῦ Γοπλίου ῥηθέντα γενέσθαι.

Ἱστορεῖ δὲ καὶ Ἡσίοδος καὶ Δικαίαρχος, καὶ Κλίταρχος, καὶ Καλλίμαχος, καὶ ἄλλοί τινες περὶ Τειρεσίου τάδε· Τειρεσίαν τὸν Εὐμαίρους, ἐν Ἀρκαδίᾳ ἄνδρα ὄντα, ἐν τῷ ὄρει τῷ ἐν Κυλλήνῃ, ὄφεις ἰδόντα ὀχεύοντας τρῶσαι τὸν ἕτερον, καὶ παραχρῆμα μεταβαλεῖν τὴν ἰδέαν· γενέσθαι τὲ ἐξ ἀνδρὸς γυναῖκα, καὶ μιχθῆναι ἀνδρί· τοῦ δὲ Ἀπόλλωνος αὐτῷ χρήσαντος, ὡς ἐὰν τηρήσας ὀχεύοντας, ὁμοίως τρώσῃ τὸν ἕνα, ἔσται οἷος ἦν παραφυλάξαντα τὴν Τειρεσίαν, ποιῆσαι τὰ ὑπὸ τοῦ θεοῦ ῥηθέντα, καὶ οὕτως κομίσασθαι τὴν ἀρχαίαν φύσιν· Διὸς δὲ ἐρίσαντος Ἥρᾳ, καὶ φαμένου ἐν ταῖς συνουσίαις πλεονεκτεῖν τὴν γυναῖκα τοῦ ἀνδρὸς τῆς τῶν ἀφροδισίων ἡδονῆς, καὶ τῆς Ἥρας φασκούσης τὰ ἐναντία, δόξαι αὐτοῖς μεταπεμψαμένοις, ἔρεσθαι τὸν Τειρεσίαν διὰ τὴν

τῶν τρόπων ἀμφοτέρων πεπειρᾶσθαι· τὸν δὲ ἐρωτώμενον, ἀγρφήνασθαι· διότι μοιρῶν οὐσῶν δέκα, τὸν ἄνδρα τέρπεσθαι τὴν μίαν, τὴν δὲ γυναῖκα, τὰς ἐννέα· τὴν δὲ Ἥραν ὀργισθεῖσαν κατανύξαι αὐτοῦ τοὺς ὀφθαλμοὺς, καὶ ποιῆσαι τυφλὸν· τὸν δὲ Δία δωρήσασθαι αὐτῷ τὴν μαντικὴν, καὶ βιοῦν ἐπὶ γενεὰς ἑπτά. Οἱ αὐτοὶ ἱστοροῦσι κατὰ τὴν Λαπίθων χώραν γενέσθαι Ἐλάτῳ τῷ βασιλεῖ θυγατέρα ὀνομαζομένην Καινίδα· ταύτῃ δὲ Ποσειδῶνα μιγέντα ἐπαγγείλασθαι ποιήσειν αὐτὴν, ὃ ἂν ἐθέλῃ· τὴν δὲ ἀξιῶσαι, μεταλλάξαι αὐτὴν εἰς ἄνδρα, ποιῆσαί τε ἄτρωτον· τοῦ δὲ Ποσειδῶνος κατὰ τὸ ἀξιωθὲν ποιήσαντος μετονομασθῆναι Καινέα. Καὶ ἐν Ἀντιοχείᾳ δὲ τῇ πρὸς Μαιάνδρῳ τοταμῷ, ἐγένετο ἀνδρόγυνος, ἄρχοντος Ἀθήνησιν Ἀντιπάτρου, ὑπατευόντων ἐν Ῥώμῃ Μάρκου Βινικίου. καὶ Τίτου Στατιλίου Ταύρου, τοῦ Κουρβιλίου ὠθικληθέντος· παρθένος γὰρ γονέων ὠθισήμων τρισκαιδεκαέτις ὑπάρχουσα ὑπὸ πολλῶν ἐμνηστεύετο, οὖσα εὐπρεπὴς· ὡς δ' ἐνεγγυήθη ᾧ οἱ γονεῖς ἐβούλοντο, ἐνστάσης τῆς ἡμέρας τοῦ γάμου, προϊέναι τοῦ οἴκου μέλλουσα, αἰφνιδίως πόνου ἐμπεσόντος αὐτῇ σφοδροτάτου ἐξεβόησεν· ἀναλαβόντες δὲ αὐτὴν οἱ προσήκοντες, ἐθεράπευον ὡς ἀλγήματα ἔχουσαν κοιλίας καὶ στρόφους τοῦ ἐντός·

τῆς δὲ

τῆς δὲ ἀλγηδόνος ὠθιμενούσης τρισὶν ἡμέραις ἑξῆς ἀχρείαν τε πᾶσι τοῦ πάθους ποιοῦντος, τῶν πόνων οὔτε νυκτὸς, οὔτε ἡμέρας ἔνδοσιν λαμβανόντων, καί τοι πᾶσαν μὲν θεραπείαν αὐτῇ προσφερόντων ἐν τῇ πόλει ἰατρῶν, μηδεμίαν δὲ τοῦ πάθους δυναμένων αἰτίαν εὑρεῖν, τῇ τεταρτῇ τῶν ἡμερῶν περὶ τὸν ὄρθρον μείζονα τῶν πόνων ἐπίδοσιν λαμβανόντων, (ὡς μεγάλῃ οἰμωγῇ ἀνακραγούσης, ἄφνω αὐτῇ ἀρσενικὰ μόρια προέπεσεν, καὶ ἡ κόρη ἀνὴρ ἐγένετο· μετὰ δὲ χρόνον, εἰς Ῥώμην ἀνηνέχθη πρὸς Κλαύδιον καίσαρα· ὁ δὲ τούτου ἕνεκα τοῦ σημείου, ἐν καπετωλίῳ Διῒ ἀλεξικάκῳ ἱδρύσατο βωμὸν.

5 Ἐγένετο καὶ ἐν Μηουνίᾳ πόλει τῆς Ἰταλίας, ἐν Ἀγριππίνης τῆς Σεβαστῆς ἐπαύλει, ἀνδρόγυνος, ἄρχοντος Ἀθήνησι Διονυσοδώρου, ὑπατευόντων ἐν Ῥώμῃ Δέκμου Ἰουνίου Σιλανοῦ Τορκουάτου, καὶ Κοΐντου Ἀστερίου Ἀντωνίνου· φιλοτὶς γάρ τις ὀνόματι πρῶθένος, Σμυρναία τὸ γένος, ὡραία πρὸς γάμον ὑπὸ τῶν γονέων κατεγγεγυημένη ἀνδρὶ· μορίων αὐτῇ προφανέντων ἀῤῥενικῶν, ἀνὴρ ἐγένετο. Καὶ ἄλλος δέ τις ἀνδρόγυνος κατὰ τοὺς αὐτοὺς χρόνους ἐγένετο ἐν Ἐπιδαύρῳ, γονέων ἀπόρων παῖς, ὃς ἐκαλεῖτο πρότερον Συμφέρουσα· ἀνὴρ δὲ γενόμενος, ὠνομάζετο Συμφέρων· κηπουρῶν δὲ

τὴν

τὸν βίον διῆγεν. Καὶ ἐς Λαοδίκειαν δὲ τῆς Συρίας γυνὴ ὀνόματι Αἰτητὴ, συνοικοῦσα τῷδ' ἀνδρὶ ἔτι, μετέβαλε τὴν μορφὴν, καὶ μετωνομάσθη Αἰτητὸς ἀνὴρ γενόμενος· ἄρχοντος Ἀθήνησι Μακρίνου, ὑπατευόντων ἐν Ῥώμῃ Λουκίου Λαμία καὶ Αἰλιανοῦ Οὐέτερος. τοῦτον καὶ αὐτὸς ἐθεασάμην. Ἐγεννήθη καὶ ἐπὶ Ῥώμης ἀνδρόγυνος, ἄρχοντος Ἀθήνησιν Ἰάσονος, ὑπατευόντων ἐν Ῥώμῃ Μάρκου Πλατίου, καὶ Σέξτου Καρμινίου, Ὑϊαίου, καὶ Μάρκου Φουλβίου Φλάκκου· δι' ἣν αἰτίαν ἡ σύγκλητος ἐκέλευεν τοὺς ἱερομνήμονας ἀναγνῶναι τοὺς Σιβύλλης χρησμοὺς, καὶ ἐξηγήσαντο τοὺς χρησμοὺς· εἰσὶν δὲ οἱ χρησμοὶ οἵδε·

Ὅσσα τέρα καὶ ὅσσα παθήματα δαίμονος αἴσης,
Ἱστὸς ἐμὸς λύσει· τάδ' ἐνὶ φρεσὶν αἴκε νοήσης,
Ῥώμη ἑῇ πίσυνος· καί τοι ποτὲ φημὶ γυναῖκα
Ἀνδρόγυνον τέξεσθαι ἔχοντά περ ἄρσενα πάντα,
Νηπιαχαίθ' ὅσα θηλύτεραι φαίνουσι γυναῖκες·
Οὐκ ἔτι δὴ κρύψω, θυσίας δέ τοι ἐξαγορεύσω.
Προφρονέως Δήμητρι καὶ ἁγνῇ Περσεφονείῃ,

Ἴστω

Ἴστω δ' αὐτὴ ἄνασσα θεὰ τὰ μὴ εἰκεπίθηαι,
Σεμνοταύτῃ δήμητρι καὶ ἁγνῇ Περσεφονείῃ·
Θησαυρὸν μὲν πρῶτα νομίσματος εἰς ἓν ἀθροίσας,
Ὅττι θέλεις ἀκὴ παμφύλων πόλεών τε καὶ αὐτῶν,
Μητρὶ κόρης δήμητρι κέλευ θυσίαν προτίθεσθαι·
Αὐταὴ δημοσίᾳ κέλομαί σε τρὶς ἐννέα ταύρους
Φανὰς ἠϋκέρους θυέμεν λευκότριχας, αἵ κεν
Ὑμετέρᾳ γνώμῃ κάλλει προφερέσταται ὦσιν·
Παῖδας ὅσας πάρος εἶπα, κέλευ ἀχαϊστὶ ταῦδ' ἔρδειν,
Ἀθανάτην βασίλισσαν ἐπευχομένην θυέεσσιν
Σεμνῶς καὶ καθαρῶς, τότε δὴ μετέπειτα δεχέσθω,
Ἔμπεδ' ἀφ' ὑμετέρων ἀλόχων ἱερ', αὐταὴ ἐπ' αὐτοῖς
Ἱστῷ ἐμῷ πίσυνοι λαμπρὸν φαῦος, αἱ δὲ φερόντων.
lego αὐτὰ Σεμνοταύτῃ δήμητρι τὸ δεύτερον, * αὗται λαβοῦσαι
Τρὶς τόσα νήφαλα παῦντα πυρὸς μαλεροῖο τιθέντων,

Ὅσσαι

Ὅσσαι ἐπισαμένως θυσίαν γρααὶ προτίθεν τ.
Προφρονέως δ' ἄλλαι Πλουτωνίδι τόσσα λα-
βοῦσαι,
Ὅσσαι ἐν ἡλικίῃ νεοθαλέα θυμὸν ἔχουσιν,
Νηπίαχοι, σεμνὴν Πλουτωνίδα παντοδί-
δακτον,
Ἐν πατρᾷ εὐχέσθων μίμνειν πολέμου κρα-
τέοντος,
Λήθην Ἑλλήνεσσι, πεσεῖν πόλεως τε καὶ αὐτῶ.
Θησαυρὸν δὲ * ἕτεροι καὶ παρθένοι ἔνθα φερόντων, lego ἑταρεῖ
Ἱστῷ θειοπαγεῖ νυμφάσματα ποικίλα
σεμνὴν,
Πλούτωνι κοσμεῖτο ὅπως * σχεσίῃσι κακοῖσι. lego σχέσιν
Προφρονέως δ' ὅτι κάλλιστον καὶ εὐκτὸν ἐπ' αἶαν ἦσι
Ὡς θνητοῖσιν ἰδέσθαι ἐπέπλετο τὸ φέρεσθαι·
Ἱστῷ σύμμικτον δῶρον βασιληΐδι κούρῃ·
Αὐταὶ ὅτ' ἂν Δήμητρι καὶ ἁγνῇ Περ-
σεφονείῃ·
Γαίας ὑμετέρας ἀπερυκέμεναι ζυγὸν αἰεὶ,
Αἰδώνῃ πλούτωνι βοὸς κυανότριχος αἷμα,
Λαμπροῖς * ἱμάσι κοσμητοὺς μετὰ ποιμέ- lego εἵμασι
νος, ὅστις
Ἡματίῳ πίσυνος βοὸς ἄρτεμος αὐτὸς ὁ
δ' ἔσται
Ὅσσοι τ' ἄλλοι ὁμοῦ πίσυνοι κατὰ πατρίδ'
ἔασι·

Μὴ

Μὴ γὰρ ἀπιστόφιλος θυσίαισιν ἀνὴρ παρεπέσθω·

† lego ἔνθα νομιστὸν

Ἔξω δ' † ἔνθ' ἀνόμιστον ἐπέπλετο φωτὶ τάδ' ἔρδειν,

* Νοῦπιστοι καταδαιτον ἔχειν θυσίαν, κατὰ δ' αὐτὴν·

Ὅστις ἂν ἡμετέρων χρησμῶν ἴδοις ἐς τόδ' ἵκηται,

Σεμνὸν Φοῖβον ἄνακτα μετελθέτω ἐν θυσίαισι,

Προφρονέως βωμοῖς ἢ πίονα μηρία καύσας,

Αἰγῶν παλλεύκων νεάτην· ἀταρ οἴδατε πάντες,

Λισσέσθω Φοῖβον παιήονα κρᾶτα πυκάσσας,

Ἱκτῆρες πίπτοντες ὅπως λυσίης ἀκαλκοιο,

Νοστήσας δ' ἀχὴ τοῦ βασιληΐδα πότνιαν Ἥρην·

Ἀργὴν βοῦν θύων πατρίοισι νόμοισι κατ' αἶσαν,

a lego αἴκε b ὥσ'

Ὑμνεῖν αἴκε γένει [a] προφερέστεραι [b] ὡς ἐνὶ λαοῖς,

Καὶ νήσων ναέται τὴν ἀντιπάλων ὅτ' ἂν αἶαν·

Οὐ δόλῳ, ἀλλὰ βίᾳ Κυμαΐδα πρόφρονες αὗται,

Νάσσων τὸ σεμνῆς βασιληΐδος οἷς ἐτίθεντο,

Ἐν

Ἐν πατρίοισιν ὁμοῖς Ἥρας ξόανόν τε κατ' οἶκον,
Ἵξει δ' ἂν μύθοισιν ἐμοῖς τάδε πάντα τίθηνται,
Σεμνοτάτην βασίλισσαν ἐπέλθῃς ἐν θυσίαισιν·
Ἐν πολλῷ χρόνῳ αὐτόθ' ἐφ' ὕστερον ὅσκεν ἐπ' αὐτοῖς,
Νήφαλαι κεν ῥέξας ὅσαι ἡμέραι εἰς ἐνιαυτὸν,
Ὅσκε τάδε ῥέξει κείνου κράτος ἔσσεται αἰεὶ,
Νηφαλίμων ἀρνῶν τε ταμῶν χθονίοις τάδε ῥέξον,
Ἦμος ἂν ἤδη ἔχοις μεγαλήτην οὐκ ἀπάντη
Ξεστοδόταν ξοάνῃσιν καὶ τᾶλλ' ὃς ἐλεξάσαφι,
Ἐν πετάλοισιν ἐμοῖς ὑπὸ κορκίδος ἀμφὶ καλύπτρας
Ἵμερτός σε βάλεν γλαυκῆς ἐλάας πολυκάρπου, *
Ἀγλαὰ φῦλλα λαβοῦσα λύσιν κακοῦ ἦμος ἂν ἔλθῃ,
Ὕμμι χρόνος μάλα κεῖνος ἐν ᾧ ποτε τᾶλλαν εογνη·
Τρωσδήτε καύσεισε κακῶν ἅμα δ' ἑλλάδος ἐκ γῆς·
Αὐτὰρ σοῦ μεταβᾶσαν ἐποτρυύεις ἀγορεῦσαι.

Ἐν δὲ Μεσσήνῃ οὐ πρὸ πολλῶν ἐτῶν, ὥς φησιν Ἀπολλώνιος, συνέβη πίθον λίθου πεποιημένον ῥαγῆναι, χειμώνων βίᾳ καὶ ὕδατος πολλοῦ ἐπενεχθέντος· προχυθῆναι δὲ αὐτοῦ κεφαλὴν τριπλασίαν τῆς ἀνθρωπίνης, τοὺς δὲ ὀδόντας ἔχειν διστοίχους· ἀναζητούντων δὲ τίνος εἴη ἡ κεφαλὴ, δηλῶσαι τὴν ὑπογραφήν. Ἴδεω γὰρ ἐγκεχαίρακτο· ἕτερον οὖν δημοσίᾳ κατασκευάσαντες πίθον, ἐνέθεσαν καὶ ἀσφαλέστερον ἐκήδευσαν τὸν Ἥρωα οἱ Μεσσήνιοι. τοῦτον ἰδόντες ὄντα περὶ οὗ φησὶν Ὅμηρος,

Ἴδεωθ' ὃς καρτιστος ὑπιχθονίων γένετ' ἀνδρῶν,
Τῶν τότε, καί ῥα ἄνακτος ἐναντίον εἵλετο τόξον,
Φοίβου Ἀπόλλωνος καλλισφύρου εἵνεκα νύμφης.

Ἐν Δαλματίᾳ τὲ ἐν τῷ τῆς Ἀρτέμιδος καλουμένῳ σπηλαίῳ, ἔστιν ἰδεῖν πολλὰ σώματα, ὧν τὰ τῆς πλευρᾶς ὀστᾶ ὑπερβάλλει ἑκκαίδεκα πήχεις.

Ἀπολλώνιος δὲ ὁ γραμματικὸς ἱστορεῖ ὑπὲρ Τιβερίου Νέρωνος σεισμὸν γεγενῆσθαι, καὶ πολλὰς καὶ ὀνομαστὰς πόλεις τῆς Ἀσίας ἄρδην ἀφανισθῆναι ἃς ὕστερον ὁ Τιβέριος οἰκείᾳ δαπάνῃ πάλιν ἀνώρθωσεν, ἀνθ' ὧν κολοσσόντε αὐτῷ κατασκευάσαντες ἀνέθεσαν παρὰ τῷ τῆς Ἀφροδίτης

δίτης ἱερῷ, ὅς ἐστιν ἐν τῇ Ῥωμαίων ἀγορᾷ, καὶ τῶν πόλεων ἑκάστης ἐφεξῆς, ἀνδριάντας πρέστησαν· ἔπαθον δὲ καὶ τῆς Σικελίας τῶν σεισμοῦ οὐκ ὀλίγαι πόλεις, καὶ τὰ πλησίον Ῥηγίου· ἐσείσθη δὲ οὐκ ὀλίγα καὶ τῶν ἐν Πόντῳ ἐθνῶν· κατὰ δὴ τῆς γῆς τὰς διαστάσεις, ἐφάνη σωμάτων μεγέθη, ἃ ἐκπλαγέντες οἱ ἐπιχώριοι, κινῆσαι μὲν ὤκνησαν, δείγματος δ' ἕνεκεν, ἔπεμψαν εἰς τὴν Ῥώμην ὀδόντα ἑνὸς οὐ ποδιαῖον μόνον, ἀλλ' ὑπερβάλλοντα καὶ τοῦτο τὸ μέτρον· ἰνδιδείξαντες δὲ Τιβερίῳ οἱ πρέσβεις, εἴροντο εἰ βούλεται κομισθῆναι τὸν Ἥρω πρὸς αὐτόν. Ὁ δὲ πρὸς ταῦτα ἐμφρόνως ἐβουλεύσατο, μήτε τῆς γνώσεως τοῦ μεγέθους ἑαυτὸν ἀποστερήσας, τό, τε ἀνόσιον τῆς νεκροσυλίας παρετησάμενος· γεωμέτρην γάρ τινα τῶν οὐκ ἀφανῶν Γοῦλχρον ὀνόματι, τιμώμενον ὑπ' αὐτοῦ δὲ τῆς τέχνης καλέσας, πρόσωπον ἐκέλευσε πλάσαι πρὸς τὸ μέγεθος τοῦ ὀδόντος· ὁ δὲ σταθμησάμενος ἡλίκον ἂν γένοιτο τό, τε σύμπαν σῶμα καὶ τὸ πρόσωπον αὐτοῦ, τῷ τοῦ ὀδόντος ὄγκῳ, ἐργασάμενος δὲ ταχέων, ἐκόμισε τῷ αὐτοκράτορι κἀκεῖνος εἰπὼν ἀρκεῖσθαι τῇ θέᾳ ταύτῃ, ἀποπέμπει τὸν ὀδόντα ἐκεῖσε, ὅθεν καὶ ἐκομίσθη. Οὐ χρὴ δὲ ἀπιστεῖν τῷ εἰρημένῳ, ἐπεὶ καὶ τῆς Αἰγύπτου Λίτραι εἰσὶν τόπος, ἐν αἷς δείκνυται σώματα οὐκ ἐλαττῶ τούτων, οὐ κεκρυμμένα γῇ, ἀλλ' ἐμφανῆ ἀφειμένα οὔτε

συγκύπτει, ὅτι συμπεφόρηται, ἀλλ' οὐ πάσχει, ὡς γνωρίσαι προσελθόντα, ἔστιν ἡμερῶν ὀκτώ, ἔστιν δὲ νυκτῶν, ἢ τὴν ἄλλων μελῶν. διὸ δὴ χρὴ καὶ τούτοις ἀπιστεῖν οἰνουμένους, ὅτι κατ' ἀρχὰς μὲν ἡ φύσις ἀκμάζουσα, ἅπαντα ἐγγὺς θεῶν ἐκθυροτρόφει· μαραινομένου δὲ τοῦ χρόνου συμμεμάρανται καὶ τὰ μεγέθη τὴν φύσεων· καὶ τὰ οὐ τῇ Ῥόδῳ δὲ παρφλήφαμεν ὀκτὼ πηλικαῦτα τὸ μέγεθος, ὡς παραβαλλομένους τοὺς νῦν ἀνθρώπους πολὺ καταδεεστέρους εἶναι. Ὁ δὲ αὐτὸς φησιν πλησίον Ἀθηνῶν, νῆσόν τινα εἶναι· ταύτην ὑπὸ τοὺς Ἀθηναίους βούλεσθαι τειχίζειν· σκάπτοντας δὲ τοὺς θεμελίους τὴν τοίχων εὑρεῖν σορὸν ἐκ τοῦ πηχῶν, οὗ ἦν εἶναι σκελετὸν ἴσον τῇ σορῷ, ἐφ' ἧς ἐπιγέγραπται τάδε. Τέθαμμαι ὁ Μακρόσειρις οὐ νήσῳ μακρᾷ, ἔτη βιώσας πεντάκις τὰ χίλια. Εὔμαχος δέ φησιν οὐ πολυμηχάνει, Καρχηδονίους πολιτα φρύγοντας τὴν ἰδίαν ἐπαρχείαν, εὑρεῖν ὀρύσσοντας δύο σκελετοὺς οὐ σορροῖς κειμένους, ὧν τὸ μὲν ἐκπεπτάσαρας εἶναι πήχεις τὸν σπόδεσιν, τὸ δὲ ἑτέρου, ἐκπεπτηχέναι. Θεόπομπος δέ φησιν ὁ Σινωπεύς, οὐ τῷ πολὺ σεισμῶν, οὐ τῷ κιμμερικῷ βοσπόρῳ αἰφνιδίως σεισμὸν γενομένου, τὸν πρὸ αὐτοῦ πινακίαν ἀναρραγῆναι λόφον, καὶ ἀναβαλεῖν ὀστᾶ ὑπερμεγέθη, ὥστε τὸν σπόδεσιν τοῦ σκελετοῦ,

σκελετὸν, πηχῶν εὑρεθῆναι εἰκοσιτεσσάρων. ταῦτα δέ φησιν τὰ ὀστᾶ τοῦ πολιοικητὰς Βαρβάρους, εἰς τὴν Μαιῶτιν ῥίψαι λίμνην. Παιδίον πρὸς Νέρωνα ἐκθρίαθη τετρακέφαλον, ἀνάλογα ἔχον καὶ τὰ ἄλλα μέλη· ἄρχοντος Ἀθήνησιν Θρασύλλου, ὑπατευόντων τῶν Ῥωμαίων Ποστλίου Πετρωνίου τοῦ Σπαλιανοῦ, καὶ Κεσεννίου Πέτου. Καὶ ἕτερον ἐγεννήθη, ᾧδὶ τὸ ἀριστερὸν ὦμον κεφαλὴν ἐκπεφυκυῖαν ἔχον. Ἐγένετο σημεῖον πρόδοξον ᾧδὶ Ῥώμης, ἄρχοντος Ἀθήνησι Δφνοφίλου, ὑπατευόντων τῶν Ῥωμαίων Κοΐντου Οὐρατίου, καὶ Γναίου Πομπηΐου Γάλλου· Ῥαικίου δ' Ταύρου ἀνδρὸς στρατηγικοῦ τῆς γυναικὸς θεράπαινα τὴν τεπιμηλίων ἀπεκύησε πίθηκον. Κορνηλίου Γαλλικανοῦ ἡ γυνὴ παιδίον ἔτεκεν κεφαλὴν ἔχον Ἀνέβιδος ᾧδὶ Ῥώμης· ἄρχοντος Ἀθήνησιν Δημοστράτου· ὑπατευόντων τῶν Ῥωμαίων Αὔλου Λουκιννίου Νδρούα Σιλανιανοῦ, καὶ Μάρκου Οὐνεσίνου Ἀγρικοῦ. Γυνὴ ἀπὸ πόλεως Τριδέντου τῆς Ἰταλίας, ἀπεκύησεν ὄφεις ἐσφαιρωμένους· ὑπατευόντων τῶν Ῥωμαίων Δομετιανοῦ καίσαρος τὸ πρῶτον, καὶ Πετιλίου Ῥούφου, τὸ δεύτερον, τῶν Ἀθήναις ἀναρχίας οὔσης. Ἐν Ῥώμῃ δικέφαλόν τις ἀπεκύησεν ἔμβρυον, ὃ ἐν Ἀθήναις τὴν θυοσκόον εἰς τὸν Τίβεριν ποταμὸν ἀνελήφθη· ἄρχοντος

Ἀθήνησιν Ἀδριανοῦ τοῦ αὐτοκράτορος γενομένου, ὑπατευόντων ἐν Ῥώμῃ αὐτοκράτορος Τραϊανοῦ τὸ ἕκτον, καὶ Τίτου Σεξτίου Ἀφρικανοῦ. Δωρόθεος δὲ φησὶν ὁ ἰατρὸς ἐν ὑπομνήμασιν, ἐν Ἀλεξανδρείᾳ τῇ κατ' Αἴγυπτον, κύναιδον τεκεῖν· τὸ δὲ βρέφος ταριχευθὲν, χάριν τοῦ παραδόξου φυλάττεσθαι. Ἐν Γερμανίᾳ ἐν τῷ στρατῷ τοῦ Ῥωμαίων, ὃς ἦν ὑπὸ Τίτῳ Κουρτιλίῳ Μαγκίᾳ, τὸ αὐτὸ τοῦτο ἐγένετο. Δοῦλος τοῦ στρατιώτου ἔτεκεν· ἄρχοντος Ἀθήνησιν Κόνωνος· ὑπατευόντων ἐν Ῥώμῃ Κοΐντου Οὐλουσίου Σατορνίνου, καὶ Ποπλίου Κορνηλίου Σκιπίωνος. Καὶ Ἀντίγονος δὲ ἱστορεῖ ἐν Ἀλεξανδρείᾳ, μίαν γυναῖκα ἐν τέτρασι τοκετοῖς εἴκοσι τεκεῖν, καὶ τὰ πλεῖστα τούτων ἐκτραφῆναι. Καὶ ἑτέρα τίς γυνὴ κατὰ τὴν αὐτὴν πόλιν, πέντε ἐν ἑνὶ τοκετῷ ἀπεκύησεν παῖδας, τρεῖς μὲν ἄῤῥενας, δύο δὲ θηλείας· οὓς Αὐτοκράτωρ Τραϊανὸς ἐκέλευσεν ἐκ τοῦ ἰδίων χρημάτων τρέφεσθαι· πάλιν δὲ μετ' ἐνιαυτὸν, ἄλλα τρία ἡ αὐτὴ γυνὴ ἔτεκεν. Ἱππόστρατος δέ φησιν ἐν τῷ περὶ Μίνω, Αἴγυπτον ἐκ μιᾶς γυναικὸς Εὐρυόπης τῆς Νείλου, πεντήκοντα υἱοὺς γεννῆσαι. Δαναός τε ὁμοίως ἐκ μιᾶς γυναικὸς τῆς Νείλου Εὐρυόπης, πεντήκοντα θυγατέρας ἔσχεν. Κρατερὸς δέ φησιν ὁ Ἀντιγόνου τοῦ βασιλέως ἀδελφὸς, γινώσκειν τινὰ ἄνθρω-

πον

τον, ὃν ἐν ἑπτὰ ἔτεσιν παῖδα γενέσθαι, καὶ μειράκιον, καὶ ἄνδρα, καὶ γέροντα καὶ γήμαντα, καὶ παιδοποιησάμενον ἀπεθανεῖν. Μεγασθένης δέ φησιν τὰς ἐν Γαλαιᾷ κατοικούσας γυναῖκας ἑξαετεῖς γινομένας τίκτειν. Εὑρέθη ἐν Σαύνῃ τῆς Ἀραβίας πόλει, Ἱπποκένταυρος ἐπὶ ὄρους μαλλα ὑψηλοῦ, ὅ ἐστιν γέμον φαρμάκου θανασίμου· καλεῖται δὲ τὸ φάρμακον ὁμώνυμον τῇ πόλει· ὀξύτατον δὲ καὶ ἀντικώτατον τῶν ὀλεθρίων καθέστηκεν· τὸν δὲ Ἱπποκένταυρον συλλαβὼν ὁ βασιλεὺς ζωὸν, ἀπέπεμπει σὺν ἑτέροις δώροις πρὸς καίσαρα εἰς τὴν Αἴγυπτον· τροφὴ δὲ ἦν αὐτοῦ, κρέα· οὐ φέρων δὲ τὴν μεταβολὴν τοῦ ἀέρος, τελευτᾷ· καὶ οὕτως ὁ ἔπαρχος τῆς Αἰγύπτου ταριχεύσας, ἀπέστειλεν εἰς Ῥώμην· καὶ πρῶτον ἐν τοῖς βασιλείοις ἀπεδείχθη, τὸ μὲν πρόσωπον ἀγριώτερον τοῦ ἀνθρωπίνου ἔχων· χεῖρας δὲ καὶ τοὺς τούτων δακτύλους τετριχωμένους· πλευρὰ δὲ συναφῆ τοῖς πρότοις σκέλεσι καὶ τῇ γαστρί· ὁπλαὶ δὲ ἦσαν αὐτῷ ἵππου στερεαὶ, καὶ ἐπίξανθοι χαῖται, καίπερ ὑπὸ τῆς ταριχείας συμμελαινόμεναι τῷ δέρματι· μέγεθος δὲ ἦν οὐχ οἷοίπερ οἱ γραφόμενοι, οὐδ' αὖ πάλιν μικρόν. Ἐν δὲ τῇ προειρημένῃ πόλει Σαύνῃ ἐλέγοντο καὶ ἕτεροι εἶναι Ἱπποκένταυροι· τὸν δὲ πεμφθέντα εἰς Ῥώμην εἴτις ἀπιστεῖ, δύναται ἱστορῆσαι· ἀπόκειται

γὰρ ἐν τοῖς ὁρίοις τοῦ αὐτοκράτορος τεταρι-
χευμένος, ὡς προεῖπον. ¶ ΠΕΡΙ ΤΩΝ
ἑκατὸν ἔτη ζησάντων.]

Οἱ ἑκατὸν ἔτη ζήσαντες Ἰταλοῦν, ὡς ἐξ αὐ-
τῶν τῶν ἀκριμήσεων ἀναζητήσαντες οὐ πρέρ-
γος ἐμάθομεν. Λούκιος Κορνήλιος, Κορνίου
υἱὸς, πόλεως Πλακεντίας. Λούκιος Γλαύκ-
κιος Οὐῆρος, Λούκιος πόλεως Πλακεντίας.
Λούκιος Οὐετούστιος Σεκουῦδος, Λουκίου υἱὸς,
πόλεως Πλακεντίας. Λούκιος Λικίννιος Γά-
λος, Λουκίου ἀπελεύθερος, πόλεως Πλα-
κεντίας. Λούκιος Ἀκίλλιος Μάρκελλος,
Λουκίου υἱὸς, πόλεως Πλακεντίας. Λούκιος
Οὐέττιος, Μάρκου υἱὸς, Βριξέλλων. Λούκιος
Κουσσώννιος, Λουκίου υἱὸς, πόλεως Κορνηλίας.
Λούκιος Γαμίνιος, Λουκίου υἱὸς, πόλεος Βελείας.
Γάϊος Πορτήσιος Φρόντων, Σέξτου υἱὸς, πόλεως
Βονωνίας· Γάϊος Νώνιος Μάξιμος, Γοπλίου υἱὸς,
πόλεως Βριξέλλων. Γάϊος Ἀμούριος Τείρωνος,
Γαΐου υἱὸς, πόλεως Κορνιλίας· Γάϊος Καστοπού-
δης, Τιτίου υἱὸς, πόλεως Γαρμης. Γαΐος Οὐά-
τιος Τέρτιος, Σπορίου υἱὸς, πόλεως Πλακεν-
τίας. Γάϊος Ἰούλιος Πόθος, πόλεως Ῥαβέννης.
Γάοϊς Οὐαλέριος Πρίμος, Κοΐντου υἱὸς, πόλεως
Βελείας· Καισειλίας Κῦρος, πόλεως Πλακεν-
τίας. Κατία Γαΐου θυγάτηρ, πόλεως Φαουεν-
τίας.

πίας. Πόπλιος Φούλβιος Φρύξ, Λουκίου ἀπελεύθερος, πόλεως Ρωμισίας· Πόπλιος Νέβιος, Λουκίου υἱός, πόλεως Βασιλείας· Πόπλιος Δεκίμιος Δημοσθένης, Ποπλίου ἀπελεύθερος, πόλεως Ἀριμήνου. Πετρωνία Κοίντα, Λουκίου ἀπελευθέρα, πόλεως Πλακεντίας· Πόλλια Ρώλλα Στατείου θυγάτηρ, πόλεως Αἰτωσίας. Μάρκος Οὐϊλφίνιος Σεβῆρος, πόλεως Οὐελείας· Μάρκος Τρέβιος Ἄλβιος, Μάρκου ἀπελεύθερος, πόλεως Πλακεντίας. Μάρκος Ἀντώνιος, Λευκίου υἱός, πόλεως Πλακεντίας. Μάρκος Τάλπος Οὐϊτάλις, Μάρκου υἱός, πόλεως Πλακεντίας. Μάρκος Ἀκκέλιος, Μάρκου υἱός, πόλεως Βονωνίας. Μάρκος Νιρέλλιος, Γαΐου υἱός, πόλεως Πάρμης. Τίτος Οὐϊβιος Θαλλος, Σοιείου υἱός, πόλεως Παρμης. Τίτος Αἰμίλιος, Κοίντου υἱός, πόλεως Ῥηγίας. Τίτος Οὐετεράνιος, Ποπλίου υἱός, πόλεως Βονωνίας. Τίτος Νυμέριος, Τίτου υἱός, πόλεως Πλακεντίας. Τίτος Σερούϊος Σέκουνδος, Τίτου υἱός, πόλεως Βονωνίας· Τίτος Πετρώνιος, Ποείου υἱός, πόλεως Πλακεντίας. Τίτος Αὐτώνιος, Μάρκου υἱός, πόλεως Ῥηγίου. Τίτος Ἐρούσιος Πολλίων, Γαΐου υἱός, πόλεως Βονωνίας. Τίτος Καμόρειος Τόρπος, Τίτου υἱός, πόλεως Φιδεντίας. Τουρεμηφόρησις Γαΐου ἀπελευθέρα, πόλεως Βο-

 νωνίας.

νωνίας. Κούϊντος Καύσιος Ῥοῦφος, Κοΐντου υἱὸς, πόλεως Ῥηγίου. Κούϊντος Λουκρίτιος πρίμος, Κοΐντου υἱὸς, πόλεως Ῥηγίου. Κούϊντος Οὐέλιος Ποπλίου υἱὸς, πόλεως Βελίας. Ἀντωνία Σεκουνδα, Ποπλίου θυγάτηρ, πόλεως Βελίας. Ἀλβατία Σαβῖνα, πόλεως Παρίγης. Σαλουΐα Οὐάρηνα Ποπλίου θυγάτηρ, πόλεως Βασιλείας. Βεβία Μαρκέλλα Σέξτου θυγάτηρ, πόλεως Ὀρτισίας. Βασκία Ἀστικόσου Μακεδὼν, ἀπὸ Φιλίππων. Βουζηστόνου παροίκου Πόλπης, Μακεδὼν. Φρόντων Ἀλβουτίου Μακεδὼν ἀπὸ Φιλίππων. Σαρκης Κιλαμακέτις Ἀμφιπολῖτις. Αἰδέσιος Δίζα παροικοπόλεως, Μακεδὼν. Βίθυσδιζάστου παροικοπόλεως, τῆς Μακεδόνων. Ζαικεδένθης Μουκάσου παροικοπολίτης Μακεδὼν. Μάντις καὶ Πρίζου Μακεδὼν, ἐξ Ἀμφιπόλεως. Ἀλέξανδρος Δημητρίου Τιανὸς, ἀπὸ πόντου, καὶ Βιθυνίας. Γάζα Τίμωνος Τιανὴ, ἀπὸ πόντου, καὶ Βιθυνίας. Χρήστη Ἀντιπάτρου Τιανὴ. Χρυσίον Θεοφίλου Τιανὴ. Ἱέρων Γέρωνος Τιανὸς. Μούζακος Μουκαντίου Νικομηδεὺς Βιθυνίας. Λούκιος Φιδικλαίνιος Νέπως, Σινωπεὺς. Ἀλούκιος Ἀπιλιούτας, ἀπὸ Λουσιτανίας πόλεως Ἰντεβρανιησίας. Ἄμβατος Δοκουρίου υἱὸς, τῆς αὐτῆς πόλεως. Καύμαλος, Καντολγουνίου υἱὸς, τῆς αὐτῆς πόλεως. Κέλτιος Πελλίου υἱὸς, πόλεως Ἀπειλοκαρίου.

καρίου. Ἀῤῥοώντιος Ἀππίου υἱὸς, πόλεως Κονιμβριγησίας. Τάμφιος Κελτίου υἱὸς πόλεως τῆς αὐτῆς. Δοκκούριος Ἀλουκκίου υἱὸς, πόλεως Αἰβουροβισυγγησίας. ¶ ΟΙ ἈΠΟ ἘΚΑΤΟΝ ΤΕΣΣΆΡΩΝ ἘΤΩΝ, ΜΈΧΡΙ ἘΚΑΤΟΝ ΔΈΚΑ ἈΠΟΓΡΑΨΆΜΕΝΟΙ.] Γαΐος Ληλήδιος πρίμος, πόλεως Βονωνίας, ἔτη ἑκατὸν ἕν. Κλωδία Ποτέστα, Γαΐου ἀπελευθέρα, πόλεως Βονωνίας, ἔτη ἑκατὸν ἕν. Κουσινία Μόσχος Γαΐου ἀπελευθέρα, πόλεως Κορνηλίας, ἔτη ἑκατὸν ἕν. Κορεωνία Οὐερηκουώδα, Ποπλίου ἀπελευθέρα, πόλεως Κορνηλίας, ἔτη ἑκατὸν ἕν. Λουΐα Ἀττικὴ, Ποπλίου ἀπελευθέρα, πόλεως Παρμης, ἔτη ἑκατὸν ἕν. Βουρία Λυχναινὶς, πόλεως Παρμης, ἔτη ἑκατὸν ἕν. Γαΐος Σάμφιος, Γαΐου υἱὸς, πόλεως Βελείας, ἔτη ἑκατὸν δύο. Κούϊντος Κορνήλιος, Κουΐντου υἱὸς, πόλεως Ῥηγίου, ἔτη ἑκατὸν δύο. Τίτος Ἀντώνιος, Τίτου υἱὸς, πόλεως Παρμης, ἔτη ἑκατὸν δύο. Κοκνανία Μοῦσα, πόλεως Κορνηλίας, ἔτη ἑκατὸν τρία. Δημόκριτος Ἀβδηρίτης, ἔτη ἑκατὸν τέσσαρα. ἐτελεύτησεν δὲ τροφῆς ἀχρεχόμενος. Κτησίβιος ὁ ἱστοριογράφος, ἔτη ἑκατὸν τέσσαρα· ἐν Περιπάτῳ δὲ ἐτελεύτα, ὡς Ἀπολλόδωρος ἐν τοῖς χρονικοῖς δεδήλωκεν. Ἱερώνυμος ὁ συγγραφεὺς

φεὺς πολλοὺς μὲν χρόνους ἐν ταῖς στρατείαις ἀνα-
τλήσας· πλείστοις δὲ τραύμασιν ἐν πολέμοις
περιπεσὼν, ἐτελεύτησεν, βιώσας ἔτη ἑκατὸν
τέσσαρα, ὥς φησιν Ἀγαθαρχίδης ἐν τῇ ἐνάτῃ
τῶν περὶ τῆς Ἀσίας ἱστοριῶν. Γάϊος Λαλ-
λίας Τιωναῖνος, Λουκίου υἱὸς, πόλεως Βιωνίας,
ἔτη ἑκατὸν πέντε. Πόπλιος Χουϊσέντιος Σφυ-
ρίων Ποπλίου ἀπελεύθερος, πόλεως Βονωνίας,
ἔτη ἑκατὸν πέντε. Τίτος Κοττίνας Χρύσαντος,
Τίτου ἀπελεύθερος, πόλεως Φαουεντίας, ἔτη
ἑκατὸν πέντε. Μάρκος Πομώνιος Σεβῆρος,
Μάρκου υἱὸς, πόλεως Ταννητάνης, ἔτη ἑκατὸν
πέντε. Σέξτος Νέβιος Σέξτου υἱὸς, πόλεως Παρ-
μίας, ἔτη ἑκατὸν πέντε. Λούκιος Αἴλιος Δω-
ρόθεος, Λουκίου ἀπελεύθερος, πόλεως Βο-
νωνίας, ἔτη ἑκατὸν ἕξ. Γάϊος Πομπού-
σιος Μοντιανὸς, Ποπλίου υἱὸς, ἔτη ἑκατὸν
ἑπτά. Πόλλα Δωνάτα Σέξτου θυγάτηρ,
πόλεως Βονωνίας, ἔτη ἑκατὸν δέκα· Μουναντία
Προκούλα, Λουκίου θυγάτηρ, πόλεως Ῥηγίου, ἔτη
ἑκατὸν δέκα. ¶ ΟΙ ἈΠΟ ΤΩΝ Ἑ-
ΚΑΤΟΝ ΔΕΚΑ ἘΤΩΝ ΜΕΧΡΙ Ἑ-
ΚΑΤΟΝ ἘΙΚΟΣΙ ἈΠΟΓΡΑΨΑΜΕ-
ΝΟΙ.] Τίτος Πουρέννιος Τοῦτος, Λούκιου υἱὸς,
πόλεως Κορνηλίας, ἔτι ἑκατὸν ἕνδεκα. Λούκιος
Αντίστιχος Σωτήριχος, Λουκίου ἀπελεύθερος, πό-
λεως

λεως Ῥαβέννης, ἔτη ἑκατὸν δέκα τρία. Λούκιος Πέτρου, πόλεως Κορνηλίας, ἔτη ἑκατὸν δέκα τέσσαρα. Ἰουλία Μοδεστίνα, πόλεως Κορσιόλων, Πριμοπιλαρίου ἀπελευθέρα, καθ' ἡμας ἔτι οὖσα, πόλεως Βριξέλλων, ἔτη ἑκατὸν εἴκοσι.

¶ ΟΙ ΑΠΟ ΡΛ' ΕΤΩΝ, ΜΕΧΡΙ ΡΜ' ΑΠΟΓΡΑΨΑΜΕΝΟΙ.] Λούκιος Τέρτιος, πόλεως Μονωνίας ἔτη ρλέ. Φαῦστος καίσαρος δοῦλος ἐκ Σαβίνων, ἀπὸ Πραιτωρίου Γαλλαντιανοῦ, ἔτη ρλς', ὃν καὶ αὐτὸς ἐθεασάμην, Ἀδριανῷ τοῦ καίσαρι ὑπηδειχθέντα. Ἀργανθώνιος ὁ τῶν Ταρτησίων βασιλεὺς, ὡς ἱστορεῖ Ἡρόδοτος. Ὁ Ἀνακρέων ὁ ποιητὴς, ἔτη ρν'. Σίβυλλα, ἡ Ἐρυθραία, ἐβίωσεν ἔτη ὀλίγον ἀπὸ δέοντα τῶν χιλίων, ὡς αὐτή φησιν ἐν τοῖς χρησμοῖς τόν δε τὸν τρόπον·

Ἀλλὰ τί δὴ πανόδυρτος ἐπ' ἀλλοτρίοισι πάθεσσι
Θέσφατα φοιβαίζω, λυσσώδεα μοῖραν ἔχουσα,
Οἴστρου δὲ σφετέρου καταγεύομαι ἀλγινόεντος·
Ἐκνεάομεν * ἀεὶ χαλεπὸν κατὰ γῆρας ἔχουσα,
Μαινομένη μὲν ἐνὶ θνητοῖς, καὶ ἄπιστα λέγουσα,
Γάντα δ' ὑπὲρ προϊδοῦσα βροτῶν δυσανάσχετα κήδη,

* ἐκ νεαρῶν μὲν legi.

Καὶ

Καὶ τότε μοι φθονέσας Λητοῦς ἐρικυδέος υἱός,
Μαντοσύνης παθέων δὲ κατοικήσας ὀλοὸν κῆρ,
Ψυκὴν ἐκλύσει δεσμευομένην ἐνὶ λυγρῷ.
* Σώματι σαρκοτύπιδι ὀϊστεύσας γεγάϊον.
Ἐνθ' ἄρα μοι ψυχὴ μὲν εὖ ἠέρα πιστηθεῖσα,
Πνεύματι συγκραθεῖσα βροτῆν εἰς ὕατα πέμψει
Κληδόνας ἐν πυκινοῖς αἰνίγμασι συμπλεχθείσας,
Σῶμα δ' ἀεικελίως ἄταφον πρὸς μητέρος αἴης,
Κείσεται οὐ γάρ τις θνητῆν ἐνθὶ γαίαις ἀμήσει,
Οὐδὲ τάφῳ κρύψει, κτ' γὰρ χθονὸς εὐρυοδείης
Δύσεται αἷμα μέλαις τορσαινομένοιο χρόνοιο.
Ἔθεν δὴ πολλῆς ἀναδύσεται ἐρνέα ποίης,
Ἡ καταβοσκομένως μήλοις εἰς Ἥπατα δῦσα,
Ἀθανάτως δείξει βουλεύματα μαντοσύνησι,
Σαρκῶς δ' ὄρνιθες πετροδείμονες αἴκε πάσωνται,

Μαντο-

Μαντοσύνην θνητοῖσιν ἀληθέα ποιπνύουσι.

Διὰ τούτου τοῦ χρησμοῦ ἀποδείγνυται δέκα γενεὰς αὐτὴν καθ' ἀνθρώπους γεγονέναι, καὶ μετὰ τὴν ἀναχώρησιν τὴν ἐκ τοῦ ζῆν, τῆς μὲν ψυχῆς κατὰ τὸν ἀέρα φερουμένης, καὶ προσπιπτούσης τοῦ ὑπὸ τῶν ἀνθρώπων λαλουμένους παρασκευάσειν, τὰς γινομένας κληδόνας διὰ τῶν λόγων· τοῦ δὲ σώματος ἀτάφου γενομένου, τὰ μὲν ὄρνεα τῶν σαρκῶν φαγόντα, τὴν δὲ τῆς ὀρνιθοσκοπίας μαντείαν διασημαίνειν· τοῦ δὲ ὑπολοίπου μέρους εἰς τὴν γῆν σαπέντος, καὶ τὰ κτήνη φαγόντα τῆς ἐκ τῆς γῆς φυομένης πόας, τὴν ἡπατοσκοπικὴν εἰς τὸν βίον εἰσάξειν τέχνην. Τὴν δὲ γενεὰν Σίβυλλα ἱστορεῖ ἐτῶν ἑκατὸν δέκα, ἐν τῷ χρησμῷ τῷ πρὸς Ῥωμαίους περὶ τῶν αἰωνίων θεῶν, ἃ Ῥωμαῖοι Σεκουλάρια καλοῦσι. Τῶν γὰρ συμμάχων αὐτῶν καὶ κοινωνῶν μὴ ἐμμενόντων ταῖς συνθήκαις, ἀλλὰ πυκνὰ μεταβαλλομένων καὶ πολεμούντων αὐτοῖς, ἡ Σίβυλλα ἐχρησμῴδησεν, ὑπὸ τελεσθεισῶν τῶν θεωριῶν τούτων, ὑποταγήσεσθαι τοὺς ἀφεστῶτας Λατίνους· εἰσὶν δὲ οἱ χρησμοὶ οἵδε·

Ἀλλ' ὁπότ' ἂν μήκιστος ἵκῃ χρόνος ἀνθρώποισι,

Ζωῆς

Ζωῆς εἰς ἐτέων ἑκατὸν δέκα κύκλον ὁδεύσας,
Μεμνῆσθαι Ῥώμαιε, καὶ εἰ μαλα λήσει ἑαυτοῦ,
Μεμνῆσθαι τά δε πάντα, θέοισι μὲν ἀθανάτοισι,
Ῥέξειν ἐν πεδίῳ πρὰ Θύβριδος ἄπλετος ὕδωρ,
Ὅππῃ ϛεινότατον, νὺξ ἡνίκα γαῖαν ἐπέλθῃ,
Ἡελίου κρύψαντος ἑὸν φάος, ἔνθα σὺ ῥέζειν,
Ἱερὰ παντογόνοις μοίραις ἄρναις τε καὶ αἶγας,
Κυανέας δ' ἐς ταῖς δ' εἰλειθύιας ἀρέσασθαι,
Παιδοτόκους θυέεσσιν ὅπῃ θέμις, αὖθι δὲ γαίῃ
Πληθομένῃ χώροις. ὀΐς ἱερεύοιτο μέλαινα
Πάνλευκοι ταῦροι δὲ Διὸς πρὰ βωμὸν ἀγέσθων,
Ἤματι, μὴ δέ τε νυκτὶ, θεοῖσι γὰρ οὐρανίδαισιν
Ἡμέριος πέλεται θυέων τρόπος, ὡς δὲ καὶ αὐτοῖς
Ἱερεύειν, δαίμαλις δὲ βοὸς δέμας ἀγλαὸν Ἥρης
Δεξάσθω νηὸς πρὰ σεῦ, καὶ Φοῖβος Ἀπόλλων,

Ὅστε

Ὅστε καὶ ἠέλιος κικλήσκεται, αἴσια δέχθω
Θύματα, Λητοΐδης καὶ ἀειδόμενοί τε Λα-
τῖνοι
Παιᾶνες, κούροις κούρῃσί τε νηὸν ἔχοιεν
Ἀθανάτωνες, χωρὶς δὲ κόραι χόρον αὗται
ἔχοιεν,
Καὶ χωρὶς παίδων ἄρσην στάχυς, ἀλλὰ γο-
νήων
Πάντων ζωόντων τοῖς ἀμφιθαλής ἐτι φύτλη,
Αἱ δὲ γάμου ζεύγλαισι δεδμημέναι ἥματι
κείνῳ,
Γνῦξ Ἥρης πρὰ βωμὸν ἀοίδιμον ἑδριόωσαι,
Δαίμονα λισσέσθωσαν, ἅπασι δὲ λύματα
δοῦναι
Ἀνδράσιν ἠδὲ γυναιξὶ, μάλιστα δὲ θηλυ-
τέραισιν,
Πάντες δ' ἐξ οἴκοιο φερέσθων, ὅσσα κο-
μίζειν
Ἔστι θέμις θνητοῖσιν ἀπερχομένοις βιότοιο,
Δαίμοσι μειλιχίοισιν ἱλάσματα καὶ μα
κάρεσσιν
Οὐρανίοις, τάδε πάντα τεθησαυρισμένα
κεῖσθαι,
Ὄφρα τελῇ θυμέλῃσι καὶ ἀνδράσιν ἑδριόω-
σιν.
Ἔνθεν πορσύνῃς μεμνημένος ἥμασι δ' ἔστω,

Νυξί τ' ἐπασσυτόραισι θεοπροπίους κατὰ θώκους,
Παμπλήθης ἄγυρις· σπουδὴ δ' ἐγέλοτι μεμίχθω
Ταῦτά τοι ἐν φρεσὶ σῇσιν ἀεὶ μεμνημένος, εἶναι
Καί σοι πᾶσα χθὼν Ἰταλὴ, καὶ πᾶσα Λατίνων,
Αἰὲν ὑπὸ σκύπτροισιν ὑπαυχένιον ζυγὸν ἕξει.

Τέλος περὶ Θαυμασίων καὶ Μακροβίων, &c.

ΦΛΕΓΟΝΤΟΣ

ΦΛΕΓΟΝΤΟΣ Ἀπελευθέρου Ἀδριανοῦ καίσαρος περὶ τῶν Ὀλυμπίων.



Δοκεῖ μοι χρῆναι εἰπεῖν τὴν αἰτίαν δι' ἣν τὰ Ὀλύμπια τεθῆναι συμβέβηκεν. Ἐστὶ δὲ ἥδε. Μετὰ Γεῖσον καὶ Πέλοπα, ἔτι δὲ Ἡρακλέα τοὺς πρώτους τὴν πανήγυριν καὶ τὸν ἀγῶνα τῶν Ὀλυμπιάσιν ἐνστησαμένους, ἐκλειπόντων τῶν Πελοποννησίων τὴν θρησκείαν χρόνῳ τινὶ, εἰς ὃν ἀπὸ Ἰφίτου ὀλυμπιάδες ὀκτὼ πρὸς ταῖς εἴκοσι καταριθμοῦνται εἰς Κόροιβον τὸν ἠλεῖον, καὶ ἀμελησάντων τῶν ἀγῶνος, στᾶσις ἐνέστη κατὰ τῆς Πελοπόννησον. Λυκοῦργος δὲ ὁ Λακεδαιμόνιος, υἱὸς ὢν τοῦ Πρυτανέως, τοῦ Εὐρόπου, τοῦ Σώσου, τοῦ Προκλέως, τοῦ Ἀριστοδήμου τοῦ Ἀριστομάχου, τοῦ Κλαιοδαίου, τοῦ Ὕλλου, τοῦ Ἡρακλέους, καὶ Δηιανείρας, καὶ Ἴφιτος ὁ αἴμονος, ὡς δὲ ἔνιοι Γραξωνίδου ἑνὸς τῶν ἀπὸ Ἡρακλέους ἠλεῖος. καὶ Κλεοσθένης ὁ Κλεονίκου Γεισάτης βουλόμενοι εἰς ὁμόνοιαν καὶ εἰρήνην τὸ πλῆθος αὖθις ἀποκαταστῆσαι, τήν τε πανήγυριν τῆς Ὀλυμπικὴν ἔγνωσαν ἀνάγειν εἰς τὰ ἀρχαῖα νόμιμα, καὶ ἀγῶνα γυμνικὸν ἐπιτελέσαι. στέλλονται

δὴ εἰς δελφοὺς χρησόμενοι τοῦ θεῷ, εἴ σφισιν συνεπαινεῖ ταῦτα ποιῆσαι. ὁ δὲ θεὸς, ἄμεινον, ἔφη, ἔσεσθαι ποιοῦσιν. καὶ προσέταξεν ἐκεχειρίαν ἀγγεῖλαι ταῖς πόλεσιν, ταῖς βουλομέναις μετέχειν τοῦ ἀγῶνος· ὧν περιαγγελθέντων κατὰ τὴν ἑλλάδα καὶ ὁ δίσκος ἐγράφη τοῖς ἑλλανοδίκαις, καθ' ὃν ἔδει τὰ ὀλύμπια ἄγειν· Οὐκ ἄγαν δὲ προσιεμένων τὸν ἀγῶνα, ἀλλὰ δυσχεραινόντων τῶν τε Πελοποννησίων, λοιμὸς ἐνθιγενόμενος, καὶ φθορὰ καρπῶν ἐλυμαίνετο αὐτοῦ· οἱ δὲ ἀφεστάντες πάλιν τοῦ περὶ τὸν Λυκοῦργον ἠτοῦντο τοῦ λοιμοῦ παῦλαν καὶ ἴασιν τινά. ἡ δὲ Πυθία χρᾶ τάδε·

Ὦ γῆς ἀκρόπολιν πάσης πελοπηΐδα κλεινὴν
Ναίοντες, πρέσβεις τε βροτῶν πάντων καὶ ἄριστοι
Φράζεσθ' ἐξ ἐμέθεν χρησμὸν θεοῦ ὅττι κεν εἴπω.
Ζεὺς ἡμῖν τελετῆς μῆνιν ἔχει ἣν διέχρησεν,
Οὕνεκ' ἀτιμάζοντες ὀλύμπια λᾶσι ἄνακτος
Ζηνὸς· τοῦ πρῶτος μὲν ἰδρύσατο καὶ θέτο τιμὴν
Πεῖσος, καὶ μετὰ τόνδε Πέλοψ ὅτε δημονναῖαν

Ἑλλάδα,

Ἑλλάδα, θῆκε δ' ἔπειτα σροτιν ⊂ ἔπαθλα θανόντι
Οἰνομαίῳ. τρίτατος δ' ἐν τοῖς παῖς Ἀμφιτρύωνος
Ἡρακλῆς ἐτέλεσσ' σροτιν καὶ ἀγῶν' ἐν μήτρῳ
Πέλοπι Ταντα λίδῃ φθιμένῳ· τὸν δήτοθεν ὑμεὶν
Λείπεις καὶ τελετὴν ἧς χωσάμενος κατὰ θυμὸν,
Ὦρσε κακὴν λιμὸν παρὰ τοῖς καὶ λοιμὸν, ὃν ἐστι
Παῦσαι, ἀνορθώσαντας ἑορτὴν τῶν πάλιν αὖθις.

Ταῦτα ἀκούσαντες, ἀπήγγειλαν τοῖς Πελοποννησίοις· οἱ δὲ ἀπιστήσαντες τῷ χρησμῷ ἀπέστειλαν πάλιν καὶ αὐτοὶ ἀγὼ κοινοῦ δόγματος ὑπιστρεφέστερον ἐπερωτήσαντας τὸν θεὸν περὶ τῶν χρησθέντων. ἡ δὲ Πυθία λέγει τάδε·

Ὦ Πελοποννήσου ναέται περὶ βωμὸν ἰόντες,
Θύετε καὶ πείθεσθε τά κεν μάντεις ἐνέπωσιν,
Ἠλείων πρόπολοι πατρίων νόμον ἰθύνοντες.

τούτων χρησθέντων, οἱ Πελοποννήσιοι ἐπέτρεψαν τοῖς Ἠλείοις ἀγῶνα τιθέναι τῶν Ὀλυμπίων, ⊂ ἐκεχειριαν ἀγγέλλειν ταῖς πόλεσιν· καὶ Ἠλεῖοι δὲ μετὰ ταῦτα βουλόμενοι βοηθεῖν

Λακεδαιμονίοις, ὅτε Ἕλος ἐπολιόρκουν πέμψαντες εἰς Δελφοὺς ἐμαντεύοντο· καὶ χρᾷ ἡ Πυθία τάδε·

Τὴν αὐτῶν ῥύεσθε πάτραν πωλέμου δ' ἀπέχεσθε,
Κοινοδίκου φιλίας ἡγούμενοι ἑλλήνεσσιν
Ἐς' ἂν πεντα ἔτης ἔλθῃ φιλόφρων ἐνιαυτὸς.

Χρησθέντων δὲ τούτων, τοῦ μὲν πολεμεῖν ἀνέσχοντο, τῶν δὲ Ὀλυμπίων τὴν ἐπιμέλειαν ἐποιοῦντο. καὶ ἐστέφετο μὲν οὐδεὶς τὸ πέντε Ὀλυμπιάδας. τῇ δὲ ἑκτῇ ἔδοξεν αὐτοῖς μαντεύσασθαι, εἰς στέμματα περιθῶσι τοῖς νικῶσι. καὶ πέμπουσι τὸν βασιλέα Ἴφιτον εἰς θεοῦ, ὁ δὲ θεὸς ἔφη τάδε·

Ἴφιτε μήλειον καρπὸν μὴ θῇς ἐπὶ νίκῃ,
Ἀλλὰ τοῖς ἄγριον ἀμφιτίθει καρπώδη ἐλαιῶν
Ὃς νῦν ἀμφέχεται λεπτοῖσιν ὑφαίσαμας ἀραίχνης.

Παραγενόμενος οὖν εἰς τὴν Ὀλυμπίαν πολλοῦν ἐν τῷ τεμένει κοτίνων ὄντων εὑρὼν ἕνα περιεχόμενον ἀραχνίοις, περιῳκοδόμησεν αὐτὸν, καὶ τοῖς νικῶσιν ἐκ τούτου ἐδόθη ὁ στέφανος. πρῶτος δ' ἐστεφανώθη Δαϊκλῆς Μεσσήνιος τῇ ἑβδόμῃ Ὀλυμπιάδι στάδιον ἐνίκα.

ΑΠΟΛ-

ἈΠΟΛΛΩΝΙΌΥ

ἱστορίαι θαυμάσιαι.

Βώλου Ἐπιμενίδης ὁ κρὴς λέγε- α'
ται ὑπὸ τοῦ πατρὸς καὶ τῶν ἀ-
δελφῶν τοῦ πατρὸς ἀπεσταλεὶς
εἰς ἀγρὸν πρόβατον ἀγαγεῖν εἰς
τὴν πόλιν, καταλαβούσης αὐ-
τὸν νυκτὸς παραλλάξαι τῆς τρίβου. καὶ κατακοιμη-
θῆναι ἔτη ἑπτὰ καὶ πεντήκοντα, καθάπερ ἄλλοι τὲ
πολλοὶ εἰρήκασιν, ἔτι καὶ Θεόπομπος ἐν ταῖς ἱστο-
ρίαις, ἐπιτρέχων τὰ κατὰ τόπους θαυμαίσια. Ἔπει-
τα συμβῆναι ἐν τῷ μεταξὺ χρόνῳ τοὺς μὲν οἰκείους
τοῦ Ἐπιμενίδου ἀπεθανεῖν. αὐτὸν δὲ ἐγερθέντα ἐκ τοῦ
ὕπνου, ζητεῖν ἐφ' ὃ ἀπεσταλεὶ πρόβατον. μὴ εὑρόν-
τα δὲ, πορεύεσθ' εἰς τὸν ἀγρὸν. ὑπελάμβανε δὲ ἐγη-
γέρθαι τῇ αὐτῇ ἡμέρᾳ, ᾗπερ ἔδοξεν κεκοιμῆσθαι.
καὶ καταλαβὼν τὸν ἀγρὸν πεπραμένον, καὶ τὴν
σκευὴν ἠλλαγμένην ἀπαίρειν εἰς τὴν πόλιν. καὶ εἰ-
σελθὼν εἰς τὴν οἰκίαν ἐκεῖθεν πάντα ἔγνω, ἐν οἷς
καὶ τὰ περὶ τοῦ χρόνου, καθ' ὃν ἀφανὴς ἐγένετο.
λέγουσι δὲ οἱ Κρῆτες, ὥς φησιν Θεόπομπος, ἔτι βιώ-
σαντα αὐτὸν ἑκατὸν πεντήκοντα ἀπεθανεῖν. λέ-
γεται δὲ περὶ τοῦ ἀνδρὸς τούτου καὶ ἄλλα οὐκ
ὀλίγα παραδόξα. Ἀριστέαν δὲ ἱστορεῖται β'
τὸν Προικοννήσιον, ἔν τινι γναφείῳ τῆς Προικοννήσου

τελευτήσαντα ἐν τῇ αὐτῇ ἡμέρᾳ καὶ ὥρᾳ ἐν
Σικελίᾳ ὑπὸ πολλῶν θεωρηθῆναι γράμμα-
τα διδάσκοντα, ὅθεν πολλάκις αὐτῷ τοῦ τοιού-
του συμβαίνοντος, καὶ περιφανοῦς γινομένου
διὰ πολλῶν ἐτῶν, καὶ πυκνότερον ἐν τῇ Σι-
κελίᾳ φανταζομένου, οἱ Σικελοὶ ἱερόν τε κα-
γ' θιδρύσαντο αὐτῷ, καὶ ἔθυσαν ὡς ἥρωϊ. Πε-
ρὶ δὲ Ἑρμοτίμου τοῦ Κλαζομενίου τοιαῦτά τι-
να μυθολογεῖται. φασὶν γὰρ αὐτοῦ τὴν ψυχὴν
ἀπὸ τοῦ σώματος πλαζομένην, ἀπεδημεῖν ἐπὶ
πολλὰ ἔτη, καὶ κατὰ τόπους γινομένην, προλέ-
γειν τὰ μέλλοντα ἀπεβήσεσθαι, οἷον ὄμβρους με-
γάλους καὶ ἀνομβρίας, ἔτι δὲ σεισμοὺς τε καὶ
λοιμοὺς, καὶ παραπλήσια, τοῦ σωματίου κειμένου.
ἐχωνίδ τὴν δὲ ψυχὴν καθάπερ εἰς ἔλυτρον διὰ χρό-
νων τινῶν εἰσερχομένην, διεγείρειν τὸ σῶμα. τοῦ-
το δὲ αὐτοῦ πολλάκις ποιοῦντος, καὶ τῆς γυναι-
κὸς ἐντολὰς ὑπ' αὐτοῦ ἐχούσης, ὅτε μέλλοι χω-
ρίζεσθαι, μηδένα θίγειν τοῦ σωματίου, μηδέ τι-
να τῶν πολιτῶν, μηδ' ἄλλον ἀνθρώπων· εἰσελ-
θόντες τινὲς εἰς τὴν οἰκίαν, καὶ ἐκλιπαρήσαν-
τες τὸ γύναιον ἐθεώρησαν χαμαὶ κείμενον γυμ-
νὸν τὸν Ἑρμότιμον ἀκίνητον. οἱ δὲ πῦρ λαβόντες
κατέκαυσαν αὐτὸν, οἰόμενοι τῆς ψυχῆς παρα-
γενομένης, καὶ μηκέτι ἐχούσης ὅπου εἰσδύσεται,
παντελῶς στερήσεσθαι τοῦ ζῆν, ὅπερ καὶ συνέ-
πεσεν.

πεσεν. Τὸν μὲν οὖν Ἑρμότιμον Κλαζομένιοι τι-
μῶσι μέχρι τοῦ νῦν, καὶ ἱερὸν αὐτοῦ καθίδρυται,
εἰς ὃ γυνὴ οὐκ εἰσέρχεται, διὰ τὴν προειρημένην
αἰτίαν. Ἄβαρις δὲ ἐξ ὑπερβορέων ἦν μὲν δ΄
καὶ αὐτὸς τῶν θεολόγων· ἔγραφε δὲ καὶ χρησ-
μοὺς ταῖς χώραις περιερχόμενος, οἵ εἰσιν μέ-
χρι τοῦ νῦν ὑπάρχοντες. προέλεγεν δὲ καὶ οὗτος
σεισμοὺς, καὶ λοιμοὺς καὶ τὰ παραπλήσια,
καὶ τὰ γιγνόμενα κατ᾽ οὐρανόν. λέγεται δὲ
τοῦτον εἰς Λακεδαίμονα παραγενόμενον, εἰρηκέναι
τοῖς Λάκωσι κωλυτήρια θῦσαι τοῖς θεοῖς, καὶ ἐκ
τούτου ὕστερον ἐν Λακεδαίμονι λοιμὸς οὐκ ἐγέ-
νετο. Τὰ δὲ περὶ Φερεκύδην τοσαῦτά τι- ε΄
να ἱστορεῖται. Ἐν Σκύρῳ ποτὲ τῇ νήσῳ διψῶντα,
ὑδάτιον αἰτῆσαι παρά τινος τῶν γνωρίμων· τὸν
δὲ πιόντα εἰπεῖν σεισμὸν ἐσόμενον ἐν τῇ νήσῳ με-
τὰ τρίτην ἡμέραν· τούτου δὲ συμβάντος, μεγά-
λην δόξαν αὐτὸν ἀπενέγκασθαι. πάλιν δὲ εἰς Σά-
μον πορευόμενος εἰς τὸ τῆς Ἥρας ἱερὸν, ἰδεῖν
πλοῖον εἰς τὸν λιμένα καθαγόμενον, καὶ εἰπεῖν
τοῖς συνεστῶσιν, ὡς οὐκ εἰσελεύσεται ἐντὸς τοῦ λι-
μένος. ἔτι δὲ λέγοντος αὐτοῦ καταῤῥαγῆναι
γνόφον, καὶ τέλος ἀφανισθῆναι τὴν ναῦν.
Τούτοις δὲ ὑπηγενόμενος Πυθαγόρας Μνη- ς΄
σαρχου υἱὸς, τὸ μὲν πρῶτον διεπονεῖτο περὶ τὰ
μαθήματα, καὶ τοὺς ἀριθμοὺς· ὕστερον δέ ποτε

καὶ τὸ φρενῖτιδος τὸ ἀπὸ τοῦ ἡλίου ἀπέσβη, καὶ
ἐν τῷ Πόντου πλοίῳ εἰσερχομένῳ φορτίον ἔχον-
τι, μὴ τῶν πλατυχόντων βυθομένων σωτὸν εἶν,
καταλθεῖν διὰ τὸν φόβον, ἐσῶτα τὸ τὸν ἐπεῖν·
μικρὸν τοίνυν φανήσεται ὑμῖν σῶμα ἄγον τὸ
πλοῖον τοῦτο· πάλιν ὁ ὁ Καυλωνίατης, ὡς φησιν
Ἀριστοτέλης, γράφων περὶ αὐτοῦ πολλὰ μὲν
καὶ ἄλλα λέγει, καὶ ὅτι ὁ Τυρρηνίας φησὶν
δάκνοντα θανάσιμον ὄφιν, αὐτὸς δάκνων, ἀ-
πέκτεινεν. καὶ τὸν γνόμενόν δὲ σῶσιν τοῖς
Πυθαγορείοις προφῆναι. διὸ καὶ εἰς Μεταπόν-
τιον ἀπῆρεν, ὑπὸ μηδενὸς θεωρηθεὶς καὶ ὑπὸ
τοῦ κατὰ Σάμον ποταμοῦ διαβαίνων ξὺν ἄλ-
λοις, ἤκουσε φωνὴν μεγάλην ὑπὲρ ἀνθρώπων
Πυθαγόρα χαῖρε. οὗτος δὲ πρόντας πολιτεῖς
γενέσθαι. ἐφάνη δέ ποτε καὶ ὁ Κρότωνι, ὁ ὁ
Μεταποντίῳ τῇ αὐτῇ ἡμέρᾳ ἢ ὥρᾳ. ὁ θεάτρῳ
ὁ ἀθλητὴς ποτε ἐξανίσταται, ὡς φησιν Ἀρι-
στοτέλης, καὶ τὸ ἴδιον μηρὸν προφαίνει τοῖς ἀθλη-
ταῖς εἰς χρυσοῦν. λέγεται δὲ πολλὰ αὐτοῦ καὶ
ἄλλα τινα παράδοξα. Ἡμεῖς δὲ μὴ βουλόμενοι
μεταγραφέων ἔργον ποιεῖν, αὐτοῦ τὸν λόγον
κατα παύσομεν. Ἀριστοτέλης δ' ὁ τοῖς φυ-
σικοῖς προβλήμασιν ὁ πολλὰ τῶν φυτείαν τῆς
κριθῆς γνομένους, λευκότερα ἴσχυν καὶ τὰ
σώματα μᾶλλον, ἢ πολλὰ τὸν πυρὸν καταχολ-
μένους.

μένους. Ἄνθρωπον δὲ τὸν, τὴν πρὸς Φί- η'
λιππον θυσιῶν κηρύκην ἐν τῇ Ἀττικῇ εἰς τὰ ἀ-
νθρώπολιν οὐδεμία ἑώρακεν εἰσερχόμενον. κα-
θάπερ δὲ καὶ γράφω καὶ τὰ θυρώματα τὰ
τῆς ἀφροδίτης μυῖα ἐφισαμένη. Ἀριστο- θ'
τέλης δὲ ἐν τοῖς φυσικοῖς προβλήμασί φησιν, οἱ
μονοσιτοῦντες πικρότερα τὰ ἤθη ἔχουσιν μᾶλ-
λον, ἢ οἱ δὶς τροφαῖς χρώμενοι. Εὐάνθρωπος ι'
ὁ ἐν τοῖς θαυμασίοις ἐν τῷ ἀγῶνι τῶν Ὀλυμπίων
τοὺς ὠθοῦντας ἐκπίνων ἐν τῇ παγκ-
ρατίῳ, μὴ διασυρίζοντας τὰ διαφερόμενα κρέα τῶν
ἱερονίκων ἀθλητῶν. Ἀριστοτέλης δ' ἐν νο- ια'
μίμοις βαρβαρικοῖς τῶν Καρίας σκορπίους γίνον-
σθαι, οἱ δὲν μὴ ξύλα παταξαντες, ὃ λίαν ἀδικοῦσι·
δὲν δ' ὑδρωρυχείους πρὸ αὐτοῦ ἀφιστᾶσιν. Πε- ιβ'
ρὶ Βαβυλῶνα δὲ διαβάντι τὸν Εὐφράτην πο-
ταμὸν, ὀφίδια γίγνεται, καὶ δὲν μὲν ξένους
τύπτει, δὲν δ' ἐν τοπίους ὃν ἀδικεῖ. Ἐν τοῖς ιγ'
κατὰ τόπους μυθικῶν ἐν Ἁλικαρνασσῷ θυσίαν τι-
νὸς τοῦ Διὶ τῷ Ἀσωραίῳ σωτελουμένης ἀγέ-
λλειν αἶγα ἔφασαν πρὸ τοῦ ἱεροῦ καὶ ἵστασθαι.
τὴν δὲ κατυχῶν ζωτελεσθεῖσαν, προβαίνειν
μίαν αἶγα ὑπὸ μηδενὸς ἀγομένην, καὶ προ-
σέρχεσθαι τοῦ βωμοῦ. τὸν δὲ ἱερέα λαβόμε-
νον αὐτῆς, καὶ μιδρεῖν. Φύλαρχος ἐν τῇ ιδ'
ἑ, τῶν ἱστορικῶν, καὶ κατὰ τὸν Ἀράβιον φησὶ
κάλλων

κήλπον πηγὴν εἶναι ὕδατος, ἧς ἐάν τις τοῦ
ποδὸς χρίσειεν, συμβαίνειν οὐδέως οἱ τένεσθαι τὸ
πολὺ τὸ αἰδοῖον. καὶ πινὸν μὲν, μὴ δ' ὅλως
συσέλεσθαι, πινὸν δὲ μετὰ μεγάλης κακοπα-
περιχύσης αὐτῆς ἰχθῦς· ὅτι δ' ἂν ἐμβαλλῃς εἰς
ταύτην ὑδὶ θαλαττῆς φαίνεσθαι, τεπάρων ὀν-
ρό τῶν ἀνὰ μέσον σαδίων. Λύκον δὲ πολὺ πλῶν
Μύλαις τῆς Σικελίας, δένδρα φύεσθαι· διὰ μέ-
σης δ' αὐτῆ ἀναθεῖν ὕδωρ, τὸ μὲν ψυχρὸν, θ' δὲ
ροά τἀναντίον. Φανίαν δὲ πλῶν τῆν Πυράνην λί-
ρος μνην, ὅταν ἀναξηρανθῇ, καίεσθαι. Καὶ τῆ Ἀσ-
καυίαν πόταμον οὖσαν, τὸ προσενεχθὲν αὐτῆ,
πολύνδρ ἄνθη ῥύμματα· ἐὰν ἐαθῇ δὲ οἰ αὐτῆ
ρογ' πολέω χρόνον διαπίπτειν αὐτόματον. Περὶ δὲ
τῆ οἰ κιτῷ φασὶν Νικαγόραν, ὅτι ἀνθμηθέσης
ρος' ἐπ' ὀλίγον τῆ γῆς, ἄλλοθι θεῖσκονται. Περὶ
τῆν

τῶν αὐτῶν ὑδάτων, Θεόφραστόν φασι, τὸ καλούμενον συγὸς ὕδωρ λέγειν, ὅτι δύσιν εἰ φοινίκῳ, σάζει δ' ἐκ πηγῆς πεπεδίου· οὗ δὲ βουλομένους αὐτῶν ὑφορύσσειν, σώγγοις πρὸς ξύλοις δεδεμένοις, λαμβάνειν· διακόπτειν δὲ πάντα τὰ ἀγγεῖα, ὡς μὴ τῶν κοράκων· ἐν ᾗ ἀποβυσάμενος, τελευτᾶν. Ἐν ᾗ τῇ Λεοντίνων ἱστορεῖν Λύκων τοὺς ὀνομαζομένους, αὐαίνειν μὲν, ὡς θερμότατον τῶν ἑλομένων· τὰς δὲ πηγὰς ἔχειν ψυχράς· τῷ δὲ πλησιαζόντων αὐτοῖς, τὸ μὲν τῶν ὀρνίθων γένος, ἀφθυμοῦσθαι βύθιος· οὗ δὲ ἀνθρώπους μιᾷ τεττάρων ἡμέραν. Ὁμοίως ᾗ τούτῳ καὶ τὸ πολὺ ἐν Κώων Χύτειον γίνεσθαι· καὶ γὰρ ἐκεῖνον ἀτμὸν μὴ ἐκβάλλειν, μὴ φορεῖν ἔμφασιν τοξίου· τὰ δὲ καθεσμένα καθ' ὑπόρροιαν ψύχειν. Εἶναι δὲ παρὰ τοῖς Κώοις ἄλλο τι ῥυμάτιον, ὃ πάντας οὗ ὀχετοὺς θέλοις διαῤῥεῖν, λίθους πεποίηκεν· τοῦτο δὲ καὶ Εὔδοξος ὁ Καλλίμαχος παραλείπουσιν, ὅτι ἐκ τοῦδε τοῦ ὕδατος οἱ Κῶοι λίθους λαβόμενοι, ᾠκοδόμησαν· ὃ δὲ θέατρον· ὅτως ἰσχυρῶς ἀπολιθοῦται πᾶν γένος. Λέγειν δὲ τὸν Εὔδοξον, καὶ τοὺς τῶν ἐν τῇ Μυσοσόλυμα φρεάτων, ὅτι παρασκευάζειν τῷ Νείλῳ πάχυσι· τοῦτο μὲν γὰρ θέρους, ὑποῤῥεῖν τὰ χείλη πληροῦσθαι. τοῦτο δὲ χειμῶνος ὅτως ἐκλείπειν, ὥστε μὴ δὲ βαδίζειν ῥᾴδιον εἶναι. ροέ ροϛ' ροζ' ροή

ρο θ' Καὶ πρὸς τῷ κῷ τῷν Κρήτων ὑδατίνῳ, ὃ οἱ ὑπερκαθίζοντος ὅταν ὑετὸς μὴ διατελοῦσιν ἄβροχοι· παραδεδόασι δὲ τοῖς Κρησὶν, ἀπ' ἐκείνου λύειν

ρ π' τὴν Εὐρώπῃ ἀπὸ τοῦ Διὸς μίξεως. Ἐν δὲ Λυκίᾳ τὰς Θεόπομπον φάσκειν εἶναι ὕδωρ ὀξύ· τοὺς δὲ ἐκ τούτου πίνοντας, ὥσπερ ὑπὸ τοῦ οἴνου ἀλλοιοῦσθαι, καὶ τοῦτ' ἀπὸ πολλόνων μαρτυ-

ρ π ά ρεῖται. Τὸ δ' ἐν τῇ πέτρᾳ Ἀρμενίων ἐκπίπτον Κτησίαν ἱστορεῖν· ὅτι συμβαλλὸν ἰχθῦς μέ-

ρ π β' λανας, ὥστε τὸν ἀπογευσάμενον τελευτᾶν. Περὶ δὲ πυρὸς κτησίαν φησὶν ἱστορεῖν, ὅτι πρὸς τῷ τῶν Φασηλιτῶν χώραν ὑπὸ τοῦ τῆς χιμαίρας ὄρους ἐστὶ τὸ καλούμενον ἀθάνατον πῦρ· τοῦτο δὲ ἐὰν μὲν εἰς ὕδωρ ἐμβάλῃς, καίεσθαι βέλτιον· ἐὰν δὲ φορτίον ὑποβαλὼν πήξῃ τις, σβέννυσθαι.

ρ π γ' Παραπλήσιον δὲ τούτῳ ὁρᾶται γινόμενον ὑπὸ ἅλως· ἐστερήσαντο γὰρ ἡμῶν Σικελοὶ ξένου βίου· ὃ ὑπὸ μὲν τῷ πυρὶ ἐτήκετο, ὑπὸ δὲ τῷ ὕδατι,

ρ π δ' ἤπτετο. Περὶ δὲ λίθων τινῶν αὐτὸν τοῦτον λέγειν, ὃν παρὰ τοῖς Βοττιαίοις ὑπὸ θράκῃ γινόμενον· ὅταν ὁ ἥλιος προσβάλλῃ πυρὶ ἐξ αὐτοῦ ἐκθυμιᾶν· ἐκεῖνον δ' ἵνα παρέχῃ, γνοὺς μὲν τὴν τῶν ἀνθράκων χροιὰν διαμένοντας ἀφθάρτους· καὶ σβέσας τις πάλιν ὑπὸ χειμῶνα σὺν αὐτῷ ἐ-

ρ π έ νεργείαν σωτελεῖν. Περὶ δὲ τούτων τῶν λόγων θεὶς Ἀριστοτέλη φάσκειν, περὶ τὴν Ἐρύθη-

ν μ

ναν εὑρίσκεσθαι διαποίκιλος τὴν χρόαν, ἐξ οὗ πλῆκτρα γίνεσθαι. Τίμαος δὲ ὁ Κιθαρῳδὸς εἶχεν καὶ ἐπεδείκνυεν πολλοῖς, φάσκων αὐτῷ, τὴν διδάσκαλον Ἀρτοκλῆν δεδωρῆσθαι· εἶναι δ' αὐτῆν τὴν ἁφὴν ἐν τῇ χρείᾳ σκληράν. Περὶ δὲ Θεσπροτοὺς ἐκ τῆς γῆς ἀνθρακας ὀρύττεσθαι δυναμεις κάεσθαι, Θεόπομπόν φησιν καταγράφειν. ρπς'

Φανίαν δὲ κατά τινας τόπους τῆς Λεσβου, καὶ περὶ τῆν νεανδρίδων· τὰς βόλους πρὸς τὰς τῆν ὄψεων καθηγήσεις γίνεσθαι καὶ χρησίμας· καὶ εἰς ὕδωρ ἐμβληθείσας οὔτε καταδύνειν, οὔτε κατατήκεσθαι· ὑπὸ τοῦτο τὸ γένος πίπτοι ἄν, καὶ ὑδὶ Ταινῃ πλῖνθος, ἡ λεγομένη ὑδιπλεῖν. ρπζ'

Περὶ δὲ τῆν Τώων Λύκον μὲν ἐν τῇ Διομηδείᾳ τῇ νήσῳ φησὶν ἱστορεῖν τοὺς ἐρωδιοὺς ὑπὸ μὲν τῆν Μήδων ὅτ' ἂν παραβάλλῃ τίς εἰς τοὺς τόπους, οὐ μόνον ψαυομένους ὑπομένειν, ἀλλὰ καὶ προσπετομένους εἰς τοὺς κόλπους ἐνδυνεῖν καὶ σαίνειν φιλοφρόνως· λέγεσθαι δέ τι τοιοῦτον ὑπὸ τῆν ἐγχωρίων, ὡς τῶν τοῦ Διομήδους ἑταίρων, εἰς τὴν τῆν ὀρνέων τούτην φύσιν μετασχηματισθέντων. ρπη'

Τοὺς δὲ περὶ τὸν Ἀδρίαν ἐνοικοῦντας Ἐνετοὺς Θεόπομπον φάσκειν κατὰ τὸν σπόρου καιρὸν, τοῖς κολοιοῖς ἀπο- ρπθ'

στέλλειν δῶρα, ταῦτα δ' εἶναι ψαιστὰ καὶ μαζας· προσθέντας δὲ τοὺς ταῦτα κομίζοντας ἀφεχωρεῖν· τὴν δὲ ὀρνέων τὸ μὲν πλῆθος τοῖς ὁρίοις μένειν τῆς χώρας συνηθροισμένους· δύο δ' ἢ τρεῖς πρὸς πάντας καὶ καταμαθόντας, ἀφίπτασθαι πάλιν καθάπερ εἴτινας πρέσβεις ἢ κατασκόπους· ἐὰν μὲν οὖν τὸ πλῆ *

Reliqua desiderantur.

MÁPKOY

ΜΆΡΚΟΥ ΑΝΤΩΝΙ-
νου αὐτοκράτορος, τῶν εἰς ἑαυτὸν Βιβλίον α.



ΠΑΡΑ τοῦ πάππου Οὐήρου, τὸ καλόηθες, καὶ ἀόργητον. Παρὰ τῆς δόξης καὶ μνήμης τῆς περὶ τοῦ γεννήσαντος, τὸ αἰδῆμον καὶ ἀρρενικόν. Παρὰ τῆς μητρὸς, τὸ θεοσεβὲς, καὶ μεταδοτικὸν· καὶ ἐφεκτιτικὸν, οὐ μόνον τοῦ κακοποιεῖν, ἀλλὰ καὶ τοῦ ὑπὲ ἐννοίας γίνεσθαι τοιαύτης. ἔτι δὲ τὸ λιτὸν κατὰ τὴν δίαιταν, καὶ πόῤῥω τῆς πλουσιακῆς διαιωγῆς. Παρὰ τοῦ προπάππου, τὸ μὴ εἰς δημοσίας διατριβὰς φοιτῆσαι, καὶ τὸ ἀγαθοῖς διδασκάλοις κατ' οἶκον χρήσασθαι· καὶ τὸ γνῶναι ὅτι εἰς τὰ τοιαῦτα δεῖ ἐκτενῶς ἀναλίσκειν. Παρὰ τοῦ τροφέως, οὐ μήτε πρασιανὸς μήτε βενετιανὸς, μήτε παλμουλάριος ἢ σκουτάριος γενέσθαι. καὶ τὸ φερέπονον, καὶ ὀλιγοδεές, καὶ αὐτουργικὸν, καὶ τὸ ἀπολύπραγμον, καὶ τὸ δυσπρόδεκτον διαβολῆς. Παρὰ Διογνήτου τὸ ἀκενόσπουδον· καὶ τὸ ἀπιστιτικὸν τοῖς ὑπὸ τῶν τοῦ ρατευομένων καὶ γοήτων, περὶ ἐπωδῶν, καὶ περὶ δαιμόνων ἀπομπῆς καὶ τῶν τοιούτων λεγομένοις. καὶ τὸ μὴ

ὀρτυ-

ὀρτυγοτροφεῖν, μηδὲ περὶ τὰ τοιαῦτα ἐπτοῆσθαι. καὶ τὸ ἀνέχεσθαι παῤῥησίας, καὶ τὸ οἰκειωθῆναι φιλοσοφίᾳ· καὶ τὸ ἀκοῦσαι, πρῶτον μὲν Βακχίου, εἶτα Τανδάσιδος, καὶ Μαρκιανοῦ. καὶ τὸ γράψαι διαλόγους ἐν παιδὶ. καὶ τὸ σκίμποδος καὶ δορᾶς ὑπιθυμῆσαι, καὶ ὅσα τοιαῦτα τῆς Ἑλληνικῆς ἀγωγῆς ἐχόμενα. Παρὰ Ῥουστίκου τὸ λαβεῖν φαντασίαν τοῦ χρήζειν διορθώσεως καὶ θεραπείας τοῦ ἤθους. καὶ τὸ μὴ ἐκτραπῆναι εἰς ζῆλον σοφιστικὸν, μηδὲ τοῦ συγγραφειν περὶ τῶν θεωρημάτων, ἢ προτρεπτικὰ λογάρια διαλέγεσθαι, ἢ φαντασιοπλήκτως τὸν ἀσκητικὸν, ἢ τὸν εὐεργετικὸν ἄνδρα ὑπιδείκνυσθαι. καὶ τὸ ἀπεστῆναι ῥητορικῆς καὶ ποιητικῆς, καὶ ἀστειολογίας. καὶ τὸ μὴ ἐν στολῇ κατ' οἶκον περιπατεῖν, μηδὲ τὰ τοιαῦτα ποιεῖν. καὶ τὸ τὰ ὑπιστόλια ἀφελῶς γράφειν, οἷον τὸ ὑπ' αὐτοῦ τούτου ἀπὸ Σινοέσσης τῇ μητρίμου γραφέν. καὶ τὸ πρὸς τοὺς χαλεπήναντας καὶ πλημμελήσαντας εὐανακλήτως καὶ εὐδιαλέκτως, ἐπειδὰν τάχιστα αὐτοὶ ἐπανελθεῖν ἐθελήσωσι, διακεῖσθαι. καὶ τὸ ἀκριβῶς ἀναγινώσκειν, καὶ μὴ ἀρκεῖσθαι περινοοῦντα ὁλοσχερῶς. μηδὲ τοῖς περιλαλοῦσι ταχέως συγκατατίθεσθαι. Ὃ τὸ ἐντυχεῖν τοῖς Ἐπικτητείοις ὑπομνήμασιν, ὧν οἴκοθεν μετέδωκε. Παρὰ Ἀπολλωνίου, τὸ ἐλεύθερον

καὶ

καὶ ἀναμφιβόλως ἀκύβευτον. καὶ πρὸς μηδὲν ἄλλο ἀχρβλέπειν, μηδὲ ἐπ' ὀλίγον, ἢ πρὸς τὸν λόγον. καὶ τὸ ἀεὶ ὅμοιον, ἐν ἀλγηδόσιν ὀξείαις, ἐν ἀχρβολῇ τέκνου, ἐν μακραῖς νόσοις. καὶ τὸ ὑπὲρ παραδείγματος ζῶντος ἰδεῖν ἐναργῶς, ὅτι δύναται ὁ αὐτὸς σφοδρότατος εἶναι, καὶ ἀνειμένος. καὶ τὸ ἐν ταῖς ἐξηγήσεσι μὴ δυσχεραντικόν. καὶ τὸ ἰδεῖν ἄνθρωπον σαφῶς ἐλάχιστον τῶν ἑαυτοῦ καλῶν ἡγούμενον τὴν ἐμπειρίαν, καὶ τὴν ἐντρέχειαν τὴν περὶ τὸ παραδιδόναι τὰ θεωρήματα. καὶ τὸ μαθεῖν πῶς δεῖ λαμβάνειν τὰς δοκούσας χάριτας παρὰ φίλων, μήτε ἐξηττώμενον διὰ ταῦτα μήτε ἀναισθήτως παραπέμποντα. Παρὰ Σέξτου, τὸ εὐμενές. καὶ τὸ παράδειγμα τοῦ οἴκου τοῦ πατρονομουμένου, καὶ τὴν ἔννοιαν τοῦ κατὰ φύσιν ζῆν, καὶ τὸ σεμνὸν ἁπλάστως, καὶ τὸ στοχαστικὸν τῶν φίλων κηδεμονικῶς, καὶ τὸ ἀνεκτικὸν τῶν ἰδιωτῶν, καὶ τὸ ἀθεώρητον τῶν ὀιομένων, καὶ τὸ πρὸς πάντας εὐάρμοστον. ὥστε κολακείας μὲν πάσης προσηνεστέραν εἶναι τὴν ὁμιλίαν αὐτοῦ, αἰδεσιμώτατον δὲ αὐτοῖς ἐκείνοις παρ' αὐτὸν ἐκεῖνον τὸν καιρὸν εἶναι. καὶ τὸ καταληπτικῶς καὶ ὁδῷ ἐξευρετικόν τε καὶ τακτικόν, τῶν εἰς βίον ἀναγκαίων δογμάτων. καὶ τὸ μηδὲ ἔμφασίν ποτε ὀργῆς, ἢ ἄλλου τινὸς πάθους παρασχεῖν. ἀλλὰ ἅμα μὲν ἀπαθέστατον

εἶναι,

εἶναι, ἅμα δὲ φιλοτεχνότατον. μὴ τὸ βύθμιον, καὶ ἐξ ἀφοφητί. καὶ τὸ ὠολυμαθὲς ἀνεπιφαντως. Παρὰ Ἀλεξάνδρου τοῦ γραμματικοῦ δ' ἀνεπίωλητον, καὶ τὸ μὴ ὀνθδιστικῶς ὠδιλαμβάνεσθαι τῶν βαρβάρων, ἢ σόλοικόν τι, ἢ ἀπηχὲς προσενεγκαμένων, ἀλλ' ὠδιδεξίως αὐτὸ μόνον ἐκεῖνο, ὃ ἐδεῖ εἰρῆσθαι προφέρεσθαι, οὐ τρόπῳ ἀκριβείσεως, ἢ συνεπιμαρτυρήσεως, ἢ συνδιαλήψεως περὶ αὐτοῦ τοῦ πράγματος, ἀλλὰ περὶ τοῦ ῥήματος, ἢδη ἑτέρας τινὸς τοιαύτης ἐμμελοῦς προσωμνήσεως. Παρὰ Φρόντωνος τὸ ὠδιτῆσθαι οἵα ἡ τυραννικὴ βασκανία, καὶ ὠοικιλία, καὶ ὑωόκρισις. καὶ ὅτι ὡς ἐπίπαν οἱ καλούμενοι ἔβοι παρ' ἡμῖν εὐπατρίδαι, ἀτυχότροποί πως εἰσί. Παρὰ Ἀλεξάνδρου τοῦ Πλατωνικοῦ, τὸ μὴ ὠολλάκις, μηδὲ χωρὶς ἀνάγκης λέγειν πρός τινα, ἢ ἐν ὠδιπολῇ γράφειν, ὅτι ἄσχολός εἰμι· μηδὲ δὴ τοιούτου τρόπου συνεχῶς παραιτεῖσθαι τὰ κατὰ τὰς πρὸς σὲ συμβιόντας σχέσεις καθήκοντα, προβαλλόμενον τὰ πρόσκαιρα πράγματα. Παρὰ Κατούλου, τὸ μὴ ὀλιγώρως ἔχειν φίλου αἰτιωμένου τι, κἂν τύχῃ ἀλόγως αἰτιῶμενος· ἀλλὰ πειρᾶσθαι πάλιν ἀκριβοῦσθαι οἷς σ' σύνηθες. μὴ δ' περὶ τῶν διδασκάλων ἐνθύμως βύθμιον, οἵα τὰ περὶ Δομιτίου καὶ Ἀθηνοδότου ἀχρεμονθυόμενα.

καὶ δ'

καὶ δ' περὶ τὰ τέκνα ἀληθινῶς ἀγαπητικόν. Παρὰ τοῦ ἀδελφοῦ μου Σεουήρου, δ' φιλοίκειον, καὶ φιλάληθες, ὡς φιλοδίκαιον. Ὁ τὸ δι' αὐτὸν γνῶναι Θρασέαν, Ἐλβίδιον, Κάτωνα, Δίωνα, Βροῦτον. καὶ φαντασίαν λαβεῖν πολιτείας ἰσονόμου, κατὰ ἰσότητα καὶ ἰσηγορίαν διοικουμένης, καὶ βασιλείας τιμώσης πάντων μάλιστα τὴν ἐλευθερίαν τῶν ἀρχομένων· καὶ ἔτι περὶ αὐτοῦ δ' ἀμελὲς, ὁ ὁμότονον ἐν τῇ τιμῇ τῆς φιλοσοφίας, καὶ τὸ εὐποιητικὸν, καὶ δ' εὐμετάδοτον ἐκτενῶς, καὶ τὸ εὔελπι, καὶ δὲ πιστευτικὸν περὶ τοῦ ὑπὸ τῶν φίλων φιλεῖσθαι, ὁ τὸ ἀνεπίκρυπτον πρὸς τοὺς καταγνώσεως ὑπ' αὐτοῦ τυγχάνοντας, καὶ τὸ μὴ δεῖσθαι στοχασμοῦ τοὺς φίλους αὐτοῦ περὶ τοῦ τὶ θέλει, ἢ τί οὐ θέλει, ἀλλὰ δῆλον εἶναι. Παράκλησις Μαξήμου, τὸ κρατεῖν ἑαυτοῦ, καὶ κατὰ μηδὲν περίφορον εἶναι. καὶ τὸ εὔθυμον ἔν τε ταῖς ἄλλαις περιστάσεσι, καὶ ἐν ταῖς νόσοις, καὶ τὸ εὔκρατον τοῦ ἤθους, καὶ μειλίχιον, καὶ γεραρὸν, καὶ οὐ σχετλίως κατεργαστικὸν τῶν προκειμένων. καὶ τὸ πάντας αὐτῷ πιστεύειν, περὶ ὧν λέγοι ὅτι οὕτως φρονεῖ· καὶ περὶ ὧν πράττοι, ὅτι οὐ κακῶς πράττῃ. καὶ τὸ ἀθαύμαστον καὶ ἀνεκπληκτον, καὶ μηδαμοῦ ἐπειγόμενον, ἢ ὀκνοῦν, ἢ ἀμηχανοῦν, ἢ κατηφὲς ἢ προσεσηρὸς, ἢ πάλιν θυμούμενον, ἢ ὑφορώμενον, καὶ τὸ εὐεργετικὸν, καὶ δ' συγγνωμονικὸν, καὶ τὸ ἀψευδὲς

καὶ

καὶ ἀδιαστρόφου μᾶλλον ἢ διορθωμένου φαντασίαν παρέχειν, καὶ ὅπου ὅτε ὠφήθη αὖ ποτέ τις ὑποτεροραθῆ ὑπ' αὐτοῦ, ὅτε ὑπέμεινεν αὖ μᾶλλον αὐτοῦ αὐτὸν ὑπολαβεῖν. καὶ τὸ εὐχαριστικὸν ἔξεως. Παρὰ τοῦ πατρὸς δ' ἤμβρου μὲν πικὸν ἀσυλλύτως ὡδὶ τὴν ἐξητασμένως μεθιστῶν. καὶ δ' ἀκενόδοξον περὶ τὰς δοκούσας τιμὰς, καὶ τὸ φιλόπονον καὶ εὐδιάλεκτος. καὶ δ' ἀκουστικὸν τῶν ἐχόντων τι κοινωφελὲς εἰσφέρειν. καὶ τὸ ἀπραγμόνως εἰς τὸ κατ' ἀξίαν ἀπονεμητικὸν ἐνδόσω. καὶ τὸ ἔμπειρον, τοῦ μὴ χρεία ἐπτάσεως, τοῦ δὲ ἀνέσεως. καὶ τὸ σωφρονεῖν τὰ περὶ τοὺς ἔρωτας τὴν μειρακίων. καὶ τὸ κοινονοημοσύνη· ἢ τὸ ἐφεῖναι τοῖς φίλοις μήτε ζῶν δειπνεῖν αὐτῷ ὡσαύτως, μήτε ζῶν ἀποδημεῖν ἐπαναγκάζειν· ἀεὶ δὲ ὅμοιον αὐτὸν καταλαμβάνεσθαι ζῶν τὴν διὰ χρείας πνὰς ἀπλεφθεῖσαν. καὶ τὸ ζητητικὸν ἀκριβῶς ἐν τοῖς συμβουλίοις, καὶ ἐπίμονον, ἀλλ' οὐ τὸ προαιρεῖσθαι τῇ ῥᾳθυμίᾳ ἀρκεσθεὶς ταῖς προχείροις φαντασίαις. καὶ τὸ φιλητικὸν τῶν φίλων, καὶ μηδαμῶν ἄφικτον, μηδὲ ὑπερμανὲς· καὶ τὸ αὐτάρκες ἐν παντὶ, καὶ τὸ φαιδρὸν, καὶ τὸ εὐπρόσωπον περὶ νοητικὸν, καὶ τὴν ἐλαχίστων προστοιμητικὸν ἄτρα χώδως. καὶ τὸ τὰς ὑπερβολὰς, καὶ πᾶσαν κολακείαν ἐπ' αὐτοῦ σαλῆναι· ἐν τῷ φυλακτικὸν

ἀτραχώδως

κτικὴν ἀεὶ τ' ἀναγκαίων τῇ ἀρχῇ, μὴ ταμευτι-
κὴν τ' χορηγίας, καὶ ξωρμητικὴν τ' ὠδὶ τὴν
τοιούτων τρόπων καταπαύσεως. καὶ τὸ μήτε πε-
ρὶ θεῶν δεισιδαίμων, μήτε περὶ ἀνθρώπους
δημοκοπικὴν ἢ ἀρεσκευτικὴν ἢ ὀχλοχαρές, ἀλ-
λὰ νήφων ὢν πᾶσι, καὶ βέβαιον, καὶ μηδαμοῦ
ἀπειρόκαλον, μηδὲ καινοτόμον. καὶ τὸ τοῖς εἰς
εὐμάρειαν βίου φέρουσί τι, ὧν ἡ τύχη παρέχει
δαψίλειαν χρηστὴν ἀτύφως ἅμα, καὶ ἀπροφα-
σίστως, ὥστε παρόντων μὲν ἀνεπιτεύκτως ἀπο-
θαι, ἀπόντων δὲ μὴ δεῖσθαι. καὶ τὸ μήτε αὐτὸν
εἰπεῖν μήτε ὅτι σοφιστὴν, μήτε ὅτι λογογρύπην δερ-
νάκλον, μήτε ὅτι σχολαστικὸν, ἀλλ' ὅτι αὐτάρ-
πειρον, τέλειον, ἀκολάκευτον, πρεσβεύειν
δυνάμενον καὶ τὴν ἑαυτοῦ καὶ ἄλλων. πρὸς
τούτοις δὲ καὶ τὸ ἐμπλεκὸν τὴν ἀληθῶς φιλο-
σοφοῦντα, τοῖς δὲ ἄλλοις μὴ ἐπονειδίστως. ἔτι
δὲ τὸ εὐόμιλον, καὶ εὐχαρι τὸ κατακόρως. καὶ
τὸ τοῦ ἰδίου σώματος ὠδὶ μελλητικὸν ἐμμέτρως·
οὔτε ὡς ἄν τις φιλόζωος, οὔτε πρὸς κα-
λλωπισμὸν, ὅτε μὲν ὀλιγώρως· ἀλλ' ὥστε διὰ τὸν
ἰδίαν προσοχὴν, εἰς ὀλίγιστα ἰατρικῶν χρῄζειν
ἢ φαρμάκων καὶ ὠδὶ ἀλλοτων ἐκτὸς. μά-
λιστα δὲ τὸ πρὸς ἐχεμυθικὸν ἐξαρκούντως τοῖς δυνα-
μένοις κατανοεῖν· οἷον τὸν φασκοντα, ἢ τὴν
τὸν ἐξ ἱστορίας νόμων, ἢ ἐθῶν ἢ ἄλλων ἐνῶλς

λ πραγμά-

πραγμάτην. καὶ συμπουδαστικὸν αὐτοῖς, πα
ἕκαστοι κ᾽ τὰ ἴδια προτρήματα βυδυκιμάδοι.
Πχήτα δὲ κ᾽ τὰ πάτεια πλάστων, δὸ᾽ αὐτὸ
δοκοῦν ὠδιτηδ᾽ δύων φαίνεαζ τὸ τὰ πάτεια φυ-
λάσσειν. ἔπι δ᾽ ἐ τὸ μὴ δύμεται κίνητον καὶ ῥιπα-
στικὸν, ἀλλὰ καὶ τοποις καὶ πράγμασι τοις αὐ-
τοῖς εὐδιατειπικόν. καὶ τὸ μιξὶ εὖ προξυ-
μὲς τ᾽ κεφαλαλγίας, νεαρὸν βύθυς καὶ ἀκ-
μαῖον πρὸς τὰ ζωήθη ὄργα. καὶ δ᾽ μὴ εἶναι
αὐτῷ πολλὰ τὰ ἀπόῤῥητα, ἀλλὰ ὀλίγιστα καὶ
σανιώτατα, καὶ ταῦτα ὑπὲρ τὴν κοινῶν μό-
νον. καὶ τὸ ἔμφρον καὶ μεμετρημένον οἵτε θεα-
τρικῶν ὠδιτελέσει, καὶ ὄρχην καταστάσεις, ὃ
vid. Annot. ἀμφιμοιαῖς, καὶ ζοῖς ζοιούζοις ἀνθρώποις, πρὸς
αὐτὸ ἢ τὸ δέον παραχθῆναι δεδοκήτ᾽, ἀ πρὸς
τὴν ὠδὶ τοῖς παραθεῖσι βύδοξίαν. δὴ οὐ ἀφε-
λούσης. οὐχὶ φιλοικοδόμ᾽, οὐ πολὶ τὰς ἐδω-
δὰς ὠδινοκτής. ἀ πολὶ ἐαθήτων ὑφὰς © χρόας,
ἀ πολὶ ζωμάτων ὥρασ. ἢ ἀχὴ χωρίσ τολή, ἀπ-
γασα ἀχὴ τ᾽ κάτω ἐπαύλεως, κὴ τ᾽ οὐ λαιδῶ
τὰ ζωλλά. τῷ τελώνῃ οὐ Τάσκλοις πραιτω-
νῳ ὡς ἐχρήσαζ, κὴ πᾶς ὁ ζιᾶτ᾽ τρόπ᾽. δὲν
ἀπνιές, δὲ μὶ ἀδυσώπιζον, δὲ λάθρον, οὐ
δ᾽ ἑὼς αὖ πνα εἰπεῖν ζοτε ἕως ἰδῷτ᾽. ἀλλὰ
ζαύτα διειλημμένα λελογίσθαι ὡς ὠδὶ ῥε
λῆς, ἀταραχῶς, τεταγμένως, ἐῤῥωμέ-
νως,

ὕως, συμφώνως ἑαυτοῖς. Ἐφαρμόσει δ' ἂν
αὐτῷ τὸ περὶ τοῦ Σωκράτους μνημονευόμε-
νον, ὅτι καὶ ἀπέχεσθαι καὶ ἀκροᾶσθαι ἐ-
δύνατο τούτων, ὧν τοσοῖ πέρυσι τὰς ἀρ-
χὰς ἀθενῶς, καὶ πρὸς τὰς ἀκροάσεις ἀν-
δρικῶς ἔχουσι. Τὸ δὲ ἰσχύειν καὶ ἐπικρατε-
ῖν καὶ νικᾶν ἑκατέρῳ, ἀνδρός ἐστιν ἀρίστου
καὶ ἀνικήτου ψυχὴν ἔχοντος, οἷον αἱ τῆ νόσῳ
τῆ Μαξίμου. Παρὰ τῶν θεῶν, ὦ ἀγαθοὺς πάπ-
πους, ἀγαθοὺς γονέας, ἀγαθὴν ἀδελφήν,
ἀγαθοὺς διδασκάλους, ἀγαθοὺς οἰκείους,
συγγενεῖς φίλους, σχεδὸν ἅπαντα ἔχειν. καὶ
ὅτι περὶ ἑνὸς αὐτῶν προέσησον τοσοῦτόν
τι, καί τοι διαθεσίν ἔχων τοιαύτην, ἀφ'
ἧς, εἰ ἔτυχεν, καὶ ἐπλάξατό τι τοιοῦτο. Τῶν θεῶν
ὃ δύνοιτο τὸ μηδεμίαν ἐνδεομένην πραγμάτων
γενέσθαι, ἥτις ἐμέλεμε ἐλέγξειν. Τὸ μὴ τοσοῦτον
ἐπιγραφῆναι παρὰ τῇ παλλακῇ τοῦ πάπ-
που. καὶ τὸ πρὸ ὥρας σχασθαι. καὶ τὸ μὴ
πρὸ ὥρας ἀνθρωπῆναι, ἀλλ' ἔτι καὶ ὑπολα-
βεῖν τοῦ χρόνου. Τὸ ἀρχόντι καὶ πατρὶ ἐνα-
τα χθῆναι, ὃς ἔμελλεν ἀνατα τὸν τύφον ἀφαι-
ρήσειν μου, καὶ εἰς ἔννοιαν ἄξειν τοῦ ὅ, τι δύνα-
τόν ἐστι σὺν αὐλῇ βιοῦντα, μήτε δορυφορήσεσιν
χαίρειν, μήτε ἐσθῆτων σημειωτῶν μήτε λαμ-
πάδων καὶ ἀνδριάντων τοιοῦτόν τινων καὶ

τοῦ ὁμοίου κόμπου· ἀλλ' ἔξεστιν ἐγγυτάτω ἰδιώτου συστέλλειν ἑαυτὸν, καὶ νὴ διὰ τοῦτο ταπεινότερον ἢ ῥαθυμότερον ἔχειν πρὸς τὰ ὑπὲρ τῶν κοινῶν ἡγεμονικῶς πραχθῆναι δέοντα. Τὸ ἀδελφοῦ τοιούτου τυχεῖν, δυναμένου μὲν διὰ ἤθους ἐπεγεῖραί με πρὸς ὑπομέλειαν ἐμαυτοῦ· ἅμα δὲ καὶ τιμῇ καὶ στοργῇ εὐφραίνοντός με, καὶ παιδία μοι ἀφυῆ μὴ γενέσθαι, μηδὲ κατὰ σωμάτιον διάστροφα. Τὸ μὴ ἐπίπλεόν με προκόψαι ἐν ῥητορικῇ καὶ ποιητικῇ καὶ τοῖς ἄλλοις ὑπιτηδεύμασι, ἐν οἷς ἴσως ἂν κατεσχέθην, εἰ ἠσθόμην ἐμαυτὸν εὐόδως προϊόντα. Τὸ φθάσαι, τοὺς τροφέας ἐν ἀξιώματι καταστῆσαι, οὗ δὴ ἐδόκουν μοι ὑπιθυμεῖν, καὶ μὴ ἀναβαλέσθαι ἐλπίδι, τοῦ μὴ ἐπεὶ νέοι ἔτι ἦσαν, ὕστερον αὐτὸ πράξειν. Τὸ γνῶναι Ἀπολλώνιον, Ῥούστικον, Μάξιμον. Τὸ φαντασθῆναι περὶ τοῦ κατὰ φύσιν βίου ἐναργῶς καὶ πολλάκις, οἷος τίς ἐστι. ὥστε ὅσον ὑπὲρ τοῖς θεοῖς, καὶ ταῖς ἐκεῖθεν διαδόσεσι καὶ συλλήψεσι, καὶ ἐπινοίαις, μηδὲν κωλύειν ἤδη κατὰ φύσιν ζῆν με, ἢ ἀπολείπεσθαι ἔτι τούτου πρὰ τὴν ἐμὴν αἰτίαν, καὶ πρὰ τοῦ μὴ διατηρεῖν τὰς ἐκ τῶν θεῶν ὑπομνήσεις, καὶ μόνον οὐχὶ διδασκαλίας. Τὸ ἀντισχεῖν μοι τὸ σῶμα ὑπὲρ τοσοῦτον ἐν τοιούτῳ βίῳ. Τὸ μήτε Βενεδίκτης ἅψασθαι, μήτε Θεοδότου· ἀλλὰ καὶ ὕστερον ἐν ἐρωτικοῖς

πκοῖς πάθεσι γενόμενον ὑγιᾶναι. Τὸ χαλεπήναντα πολλάκις ῥᾳστίνῳ, μηδὲν τοιοῦτον πάθοι, ἐφ' ᾧ αὖ μετέγνων. Τὸ μέλλοντα νέαν τελευτᾶν τὴν τεκοῦσαν ὅμως οἰκεῖσθαι μετ' ἐκείνου τὰ τελευταῖα ἔτη. Τὸ σοφάκις ἐβουλήθην ἀδικηθῆναί τινι νομίσαι, ἢ εἰς ἄλλό τι χρήζοντι, μηδέποτε ἀκοῦσαί με ὅτι δή ἐστι μοι χρήματα ὅθεν γένηται. καὶ τὸ αὐτῷ ἐμοὶ χρείαν ὁμοίαν ὡς πρὸς ἑτέρου μεταλαβεῖν, μὴ συμπαθεῖν. Τὸ τὴν γυναῖκα τοιαύτην εἶναι, ἥτις μὲν σεμνήνιον, ἥτω δὲ φιλότεκνον, οὕτω δὲ ἀφελῆ. Τὸ ἀδιτηδείων τροφέων εἰς τὰ παιδία δύνασθαι. Τὸ δὲ ὀνειράτων βοηθήματα δύνασθαι ἄλλα τε ὡς μὴ πύθῃ αἷμα, καὶ μὴ ἰλιγγιᾷν· καὶ τούτου αὖ Καίσαρι ὡσπερ χρήσιμον. ὅπως τε ἐπεθύμησα φιλοσοφίας, μὴ ἐμπεσεῖν εἴς τινα σοφιστὴν μηδὲ ἀσκημονῆσαι ἀδίδ δὲ συγγραφεῖς, ἢ συλλογισμοὺς ἀναλύειν, ἢ περὶ τὰ μετεωρολογικὰ καταγίνεσθαι. Πάντα γὰρ ταῦτα θεῶν βοηθῶν καὶ τύχης δέεται.

Τὰ αὖ κατὰ δίος πρὸς τὴν γραμμάτα. ά.

Ἔσθαι προλέγειν ἑαυτῷ, σωτυβήσομαι περὶ ὀργῇ, ἀχαρίστῳ, ὕβριστῇ, δολερῷ, βασκάνῳ, ἀκοινωνήτῳ. Πάντα ταῦτα συμβέβηκεν ἐκείνοις πρὸ τὴν ἄγνοιαν τὴν ἀγαθῶν καὶ κακῶν. Ἐγὼ δὲ τεθεωρηκὼς τὴν φύσιν τοῦ ἀγα-

θοῦ, ὅτι καλὸν, καὶ τοῦ κακοῦ, ὅτι αἰσχρὸν, καὶ
πῶ αὐτοῦ τοῦ ἁμαρτάνοντος φύσιν ὅτι μοι συγ-
γενὴς, οὐχὶ αἵματος ἢ σπέρματος τοῦ αὐτοῦ,
ἀλλὰ νοῦ, καὶ θείας ἀπομοίρας μέτοχος, οὐτε
βλαβῆναι ὑπό τινος αὐτῶν δύναμαι· οὐδεὶς γὰρ
με οὐδὲς πρὸς αἰσχρότητα, οὔτε συγγενεῖ δύναμαι, οὔτε ἀπέχθεσθαι αὐτῷ.
γεγόναμεν γὰρ πρὸς συνεργίαν ὡς πόδες, ὡς
χεῖρες, ὡς βλέφαρα, ὡς οἱ ὀδόντες τῶν ἄνω καὶ
τῶν κάτω ὀδόντων. Τὸ οὖν ἀντιπράσσειν ἀλ-
λήλοις παρὰ φύσιν. ἀντιπρακτικὸν δὲ τὸ ἀ-
γανακτεῖν καὶ ἀπορρέφεσθαι. Ὅτι ποτὲ τὸ-
τό εἰμι, σαρκίον ἐστὶ, καὶ πνευμάτιον, καὶ τὸ
ἡγεμονικόν. Ἄφες τὰ βιβλία, μηκέτι πάλ.
Οὐ δέδοται. ἀλλ' ὡς ἤδη ἀπὸ νεότητος τὴν μὲν
σαρκίων καταφρόνησον λύθρος καὶ ὀστάρια, καὶ
πλοκύφαντον, ἐκ νεύρων, φλεβίων, ἀρτηριῶν
πλεγμάτιον. Θέασαι δὲ καὶ τὸ πνεῦμα ὁποῖόν τι
ἐστίν· αἴνεμος, ὅδε ἀεὶ τὸ αὐτὸ, ἀλλὰ πάσης ὥρας
ἐξεμέμνον, καὶ πάλιν ῥοφέμνον. τέταρτον δὴ ἐστὶ
τὸ ἡγεμονικόν. ὧδε ἀπονοήτει. Γόρων εἶ· μηκέτι
σῶρ ἐάσῃς δουλεῦσαι· μηκέτι καθ' ὁρμὴν ἀ-
κοινώνητον νευροσπασθῆναι· μηκέτι δὲ ἐμμα-
μένον, ἢ πρὸν δυσχεραῖναι, ἢ μέλλον τρομεῖν.
τὰ τῶν θεῶν προνοίας μεστά. τὰ τ' τύχης οὐκ
ἄνευ φύσεως ἢ συγκλώσεως, ἅπαντα ῥοκῆς τ'
πθ.

προνοίᾳ δι[illegible]θυμένων πάντα ἐκεῖθεν ῥεῖ. πρόσεστι δὲ τὸ ἀναγκαῖον, καὶ τὸ τῷ ὅλῳ κόσμῳ συμφέρον, οὗ μέρος εἶ. Παντὶ δὲ φύσεως μέρει ἀγαθόν. ὃ φέρει ἡ τοῦ ὅλου φύσις, καὶ ὃ ἐκείνης ἐστὶ ὡστικόν. σώζουσι δὲ κόσμον ὥσπερ αἱ τῶν στοιχείων οὕτως καὶ αἱ τῶν συγκριμάτων μεταβολαί. ταῦτά σοι ἀρκείτω, ἀεὶ δόγματα ἔστω. Τὴν δὲ τῶν βιβλίων δίψαν ῥίψον, ἵνα μὴ γογγύζων ἀπαθάνῃς, ἀλλὰ ἵλεως ἀληθῶς, καὶ ἀπὸ καρδίας εὐχάριστος τοῖς θεοῖς.

ΜΑΡΚΟΥ ΑΝΤΩΝΙΝΟΥ αὐτοκράτορος, τῶν εἰς ἑαυτὸν Βιβλίον Β.

ΜΕΜΝΗΣΟ ἐκ πόσου ταῦτα ἀναβάλῃ, καὶ ὁ ποσάκις προθεσμίαν λαβὼν παρὰ τῶν θεῶν οὐ χρᾷ αὐταῖς· δεῖ δὲ ἤδη ποτὲ αἰσθέσθαι τίνος κόσμου μέρος εἶ, καὶ τίνος διοικοῦντος τὸν κόσμον ἀπόῤῥοια ὑπέστης, καὶ ὅτι ὅρος ἔστι σοι περιγεγραμμένος τοῦ χρόνου· ᾧ ἐὰν εἰς τὸ μὴ ἀπαιθριάσαι χρήσῃ, οἰχήσεται, καὶ οἰχήσῃ, καὶ αὖθις οὐχ ἥξεται. Γάσης ὥρας φρόντιζε στιβαρῶς ὡς Ῥωμαῖος καὶ ἄῤῥην τὸ ἐν χερσὶ μετὰ τῆς ἀκριβοῦς καὶ

ἀπλότητος, καὶ φιλοστοργίας, καὶ
ἐλευθερίας, καὶ δικαιότητος πράσσειν, καὶ
χαίρειν σου τοῦ λόγου ἀπὸ πασῶν τῶν ἄλλων φαντα-
σιῶν ποιεῖσθαι. ποιεῖς δὲ αὐτὰ ὡς ἐχαίρετο τοῖς
ἐκάστου πρᾶξιν ἀνεργῆς ἀπημαγμένου πάσης
ἐπικαιότητος καὶ ἐμπαθοῦς ἀκριβοφῆς ἀπὸ τοῦ
αἱροῦντος λόγου, καὶ εὐποιείσεως, μὴ φιλαυ-
τίας. καὶ δυσαρεστήσεως πρὸς τὰ συμμεμιγ-
μένα. Ὁρᾷς πῶς ὀλίγα ἐστὶν ὧν κρατήσας τις,
δύναται εὔροος καὶ θεοδῆ βιῶσαι βίον; ἢ
γὰρ οἱ θεοὶ ποιέον ὀδὲν ἀπαιτήσουσι παρὰ τοῦ
ταῦτα φυλάσσοντος. Ὕβριζε ὕβριζε αὐτῷ ἡ
ψυχή, τοῦ δὲ τιμῆσαι σεαυτὴν ὀκέτι καιρὸν
ἕξεις. οὐ γὰρ ὁ βίος ἐκάστῳ, ὅτου δέσει χρόνου
δίνυσαι, μὴ αἰδεμονίην σεαυτῷ, ἀλλ' ὦ τῶν
ἄλλων ψυχῶν πλημμύρην τῷ οἰῷ δυμοιείαις.
Γιγιοπᾷ τί σε τὰ ἔξωθεν ἐμπίπτοντα; κοὐχὶ
λιῶ πάρεχε σεαυτῷ τοῦ προσμανθάνειν ἀγα-
θόν τι, καὶ παῦσαι ῥεμβόμενος. Ἤδη γὰρ καὶ
τῶν ἑτέραν πολυφορὰν φυλακτέον. λογισμῶν
καὶ πρὸ πάντων, ὅτι κεκμηκότες τοῦ βίου, ὦ
μὴ ἔχοντες σκοπὸν, ἐφ' ὃν πᾶσαν ὁρμὴν καὶ
κατάτασιν φαντασίαν ἀποθυνόσιν. Παρὰ
μηδὲν μὴ ἐφιστάνου τί σὺ τῇ ἄλλου ψυχῇ γίγνεται,
ὃ ῥᾳδίως τις ὤφλη κακοδαιμονῶν. σοῦ γὰρ ἐστὶ
τὰ ἰδίας ψυχῆς κινήματα μὴ παρακολουθοῦντας,
ἀνάγκη

ἀνάγκη καθαμαρτεῖν. Τούτων ἀεὶ δεῖ μεμνῆσθαι. τίς ἡ τῶν ὅλων φύσις, καὶ τίς ἡ ἐμή, καὶ πῶς αὕτη πρὸς ἐκείνην ἔχουσα, καὶ ὁποῖόν τι μέρος, ὁποίου τοῦ ὅλου ὅσα. καὶ ὅτι οὐδεὶς ὁ κωλύων τὰ ἀκόλουθα τῇ φύσει, ἧς μόριόν ἐστι, πάσχειν τε ἀεὶ καὶ λέγειν.

Φιλοσόφως ὁ Θεόφραστος ἐν τῇ συγκρίσει τῶν ἁμαρτημάτων, ὡς ἄν τις κοινότερον τὰ τοιαῦτα συγκείνειε φησί· βαρύτερα εἶναι τὰ κατ' ἐπιθυμίαν τῶν κατὰ θυμόν. ὁ γὰρ θυμούμενος μετά τινος λύπης καὶ ἀνιαρᾶς συστολῆς φαίνεται δίκην λόγου ἀποσπερχόμενος· ὁ δὲ κατ' ἐπιθυμίαν ἁμαρτάνων, ὑφ' ἡδονῆς ἡττώμενος ἀκολαστότερος πως φαίνεται, καὶ θηλύτερος ἐν ταῖς ἁμαρτίαις. ὀρθῶς δ' ἂν καὶ φιλοσόφως ἀξίως ἔφη, μείζονος ἐγκλήματος ἔχεσθαι τὸ μετ' ἡδονῆς ἁμαρτανόμενον, ἢ περ τὸ μετὰ λύπης. ὅλως τε ὁ μὲν πεπληγμένῳ μᾶλλον ἔοικε, καὶ διὰ λύπην ἀναγκασμένῳ θυμωθῆναι. ὁ δέ, αὐτόθεν πρὸς τὸ ἀδικεῖν ὁρμητικῶς φερόμενος, πάσχει τι πάθος κατ' ἐπιθυμίαν. ὡς ἤδη δίκαιον τοῦ ὄντος ἀχθέσθαι τῷ βίου, οὕτως ἔχοντα ποιεῖν καὶ διανοεῖσθαι. Τὸ δ' ἀπὸ ἀνθρώπων ἀπελθεῖν, εἰ μὴ θεοί εἰσιν, οὐδὲν δεινόν· καίτοι γε θεοὺς ἴσμεν ὄντας. εἰ δὲ καὶ εἰσί τινες, ἢ οὐ μέλει αὐτοῖς

τῶν ἀνθρωπείων· τί μοι ζῆν ἐν κόσμῳ κενῷ θεῶν, ἢ προνοίας κενῷ. Ἀλλὰ καί εἰσι, καὶ μέλει αὐτοῖς τῶν ἀνθρωπείων. καὶ τοῖς μὲν κατ' ἀλήθειαν κακοῖς, ἵνα μὴ περιπίπτῃ ὁ ἄνθρωπος, ἐπ' αὐτοῦ τὸ πᾶν ἔθεντο. τῶν δὲ λοιπῶν εἴ τι κακὸν ἦν καὶ οὗτος ἂν προΐδοντο, ἵνα ἐπῇ πάντη τὸ μὴ περιπίπτειν αὐτῷ. ὃ δὲ χείρω μὴ ποιεῖ ἄνθρωπος, πῶς ἂν οὗτος βίος ἀνθρώπου χείρω ποιήσειεν; οὔτε δὲ κατ' ἄγνοιαν, οὔτε εἰδυῖα μὲν, μὴ δυναμένη δὲ προφυλάξασθαι, ἢ διορθώσασθαι ταῦτα, ἡ τῶν ὅλων φύσις παρεῖδεν ἄν. οὔτε ἂν τηλικοῦτος ἡμαρτεῖς ἤτοι παρ' ἀδυναμίας, ἢ παρ' ἀτεχνίαν, ἵνα τὰ ἀγαθὰ καὶ τὰ κακὰ ἐπίσης τοῖς τε ἀγαθοῖς ἀνθρώποις καὶ τοῖς κακοῖς πεφυρμένως συμβαίνῃ. Θάνατος δέ γε καὶ ζωὴ, δόξα καὶ ἀδοξία, πόνος καὶ ἡδονὴ, πλοῦτος καὶ πενία, πάντα ταῦτα ἐπίσης συμβαίνει ἀνθρώπων τοῖς τε ἀγαθοῖς καὶ τοῖς κακοῖς, οὔτε καλὰ ὄντα, οὔτε αἰσχρὰ, οὔτ' ἄρ' ἀγαθὰ, οὔτε κακά ἐστι. Πῶς πάντα ταχέως ἐναφανίζεται, τοῦ μὲν κόσμῳ αὐτὰ τὰ σώματα, τοῦ δὲ αἰῶνι αἱ μνῆμαι αὐτῶν, οἷα ἐστὶ τὰ αἰσθητὰ πάντα, καὶ μάλιστα τὰ ἡδονῇ δελεάζοντα, ἢ τοῦ πόνῳ φοβοῦντα, ἢ τοῦ τύφῳ διαβεβοημένα, πῶς εὐτελῆ καὶ εὐκαταφρόνητα, ὡς ῥυπαρὰ, καὶ εὔφθαρτα, καὶ νεκρὰ. νοερᾶς δυνά-

δυνάμεως, ἐφιστάναι τί εἰσιν οὗτοι ὡς αἱ ὑπο-
λήψεις καὶ αἱ φωναὶ, τὴν εὐδοξίαν. Τί ἐστὶν *
τὸ ἀγαθανεῖν, ὃ ὅτι ἐάν τις αὐτὸ μόνον εἰδῇ, καὶ
τοῦ μερισμῷ τῆς ἐννοίας διαλύσῃ τὰ ἐμφαν-
τα ζόμενα αὐτῷ, οὐκέτι ἀλλό τι ὑπολήψεται
αὐτὸ εἶναι ἢ φύσεως ἔργον. Φύσεως δὲ ἔργον εἴ-
τις φοβεῖται, παιδίον ἐστὶ. οὐδὲ μέν τοι οὐ μόνον
φύσεως ἔργόν ἐστιν, ἀλλὰ καὶ συμφέρον αὐτῇ.
Πῶς ἅπτεται θεοῦ ἄνθρωπος, καὶ κατὰ τί αὐτοῦ
μέρος, καὶ ὅταν πῶς ἔχῃ διακέηται τὸ τοῦ
ἀνθρώπου οὐδὲ μέριον; οὐδὲν ἀθλιώτερον τοῦ
πάντα κύκλῳ ἐκπεριερχομένου, ὃ τὰ νέρ-
θεν γᾶς, φησιν, ἐρευνῶντος, ὃ τὰ ἐν ταῖς ψυ-
χαῖς τῶν πλησίον διὰ τεκμάσεως ζητοῦντος,
μὴ αἰσθομένου δὲ ὅτι ἀρκεῖ πρὸς μόνῳ τοῦ ἐν-
δον ἑαυτοῦ δαίμονι εἶναι, καὶ τοῦτον γνησίως θε-
ραπεύειν. θεραπεία δὲ αὐτοῦ καθαρὸν πάθους
διατηρεῖν, καὶ εἰκαιότητος καὶ δυσαρεστήσεως τῆς
πρὸς τὰ ἐκ θεῶν καὶ ἀνθρώπων γινόμενα. Τὰ
μὲν γὰρ ἐκ θεῶν αἰδέσιμα δι' ἀρετήν. Τὰ δὲ
ἐξ ἀνθρώπων φίλα διὰ συγγένειαν, ἔστι δὲ ὅτε
καὶ τρόπον τινὰ ἐλεεινὰ, δι' ἄγνοιαν ἀγαθῶν καὶ
κακῶν· οὐκ ἐλάττων ἡ πήρωσις αὕτη τῆς στε-
ρισκούσης τοῦ διακρίνειν τὰ λευκὰ καὶ μέ-
λαινα. Κἂν τρισχίλια ἔτη βιώσεσθαι μέλ-
λῃς, καὶ τοσαυτάκις μύρια, ὅμως μέμνησο, ὅτι

οὐδεὶς

οὐδεὶς ἄλλον ἀπεβάλλει βίον, ἢ τοῦτον ὃν ζῇ· οὐδ' ἄλλον ζῇ ἢ ὃν ἀπεβάλλει. εἰς ταὐτὸ οὖν καθίσταται τὸ μήκιστον τῷ βραχυτάτῳ. τὸ γὰρ παρὸν, πᾶσιν ἴσον, εἰ καὶ τὸ ἀπολλύμενον, οὐκ ἴσον, καὶ τὸ ἀπεβαλλόμενον, οὕτως ἀκαριαῖον ἀναφαίνεται. οὔτε γὰρ τὸ παρῳχηκὸς, οὔτε τὸ μέλλον ἀπεβάλλοι ἄν τις. ὃ γὰρ οὐκ ἔχει, πῶς ἄν τις τοῦτο αὐτοῦ ἀφέλοιτο; τούτων οὖν τῶν δύο δεῖ μεμνῆσθαι· ἑνὸς μὲν ὅτι πάντα ἐξ ἀϊδίου ὁμοειδῆ, καὶ ἀνακυκλούμενα, καὶ οὐδὲν διαφέρει, πότερον ἐν ἑκατὸν ἔτεσιν, ἢ ἐν διακοσίοις, ἢ ἐν τῷ ἀπείρῳ χρόνῳ τὰ αὐτά τις ὄψεται. ἑτέρου δὲ, ὅτι καὶ ὁ πολυχρονιώτατος, καὶ ὁ τάχιστα τεθνηξόμενος, τὸ ἴσον ἀπεβάλλει. Τὸ γὰρ παρὸν ἐστὶ μόνον οὗ στερίσκεσθαι μέλλει, ὅπερ γε ἔχει, καὶ τοῦτο μόνον. καὶ ὃ μὴ ἔχει τις, οὐκ ἀπεβάλλει.

Ὅτι πᾶν ὑπόληψις, δῆλα μὲν γὰρ τὰ πρὸς τὴν κυνικὸν Μόνιμον λεγόμενα. δῆλον δὲ καὶ τὸ χρήσιμον τοῦ λεγομένου, ἐὰν τις αὐτοῦ τὸ νόστιμον μέχρι τοῦ ἀληθοῦς δέχηται. Ὑβρίζει ἑαυτὴν ἡ τοῦ ἀνθρώπου ψυχὴ· μαλίστα μὲν, ὅταν ἀπόστημα, καὶ οἷον φῦμα τοῦ κόσμου ὅσον ἐφ' ἑαυτῷ γένηται. τὸ γὰρ δυσχεραίνειν τινὶ τῶν γινομένων ἀπόστασίς ἐστι τῆς φύσεως, ἧς ἐν μέρει, ἑκάστου τῶν λοιπῶν φύσεις περιέχονται· ἔπειτα δὲ, ὅταν ἄνθρωπόν τινα ἀπεστραφῇ, ἢ καὶ ἐναντία φέρηται,

φέρηται, ὡς βλαψουσα· οἷαί εἰσι αἱ τῶν ὀργιζομένων. τρίτον ὑβρίζει ἑαυτὴν, ὅταν ἡσσᾶται ἡδονῆς, ἢ πόνου. τέταρτον, ὅταν ὑποκρίνηται, καὶ ἀδιπλαστως, καὶ ἀναλήθως τὶ ποιῇ, ἢ λέγῃ. Γέμπτον, ὅταν πρᾶξίν τινα ἑαυτῆ καὶ ὁρμὴν, ἐπ' οὐδένα σκοπὸν ἀφίῃ, ἀλλὰ εἰκῆ καὶ ἀπαρακολουθήτως ὁτιοῦν ἐνεργῇ. δέον καὶ τὰ μικρότατα, κατὰ τὴν ἀδὶ τὸ τέλος ἀναφορὰν γίνεσθαι. τέλος δὲ λογικῶν ζώων τὸ ἕπεσθαι τοῦ τῆς πόλεως καὶ πολιτείας τῆς πρεσβυτάτης λόγῳ καὶ θεσμῷ.

Τοῦ ἀνθρωπίνου βίου, ὁ μὲν χρόνος, στήγμη· ἡ δὲ οὐσία, ῥέουσα· ἡ δὲ αἴσθησις, ἀμυδρά· ἡ δὲ ὅλου τοῦ σώματος σύγκρισις, εὔσηπτος. ἡ δὲ ψυχὴ, ῥεμβὸς· ἡ δὲ τύχη, δυστέκμαρτος. ἡ δὲ φήμη, ἄκριτον. συνελόντι δὲ εἰπεῖν, πάντα, τὰ μὲν τοῦ σώματος, ποταμός· τὰ δὲ τῆς ψυχῆς, ὄνειρος καὶ τύφος. ὁ δὲ βίος, πόλεμος, καὶ ξένου ἀδιδημία. ἡ ὑστεροφημία δὲ, λήθη. Τὶ οὖν τὸ παραπέμψαι δυνάμενον; ἓν καὶ μόνον φιλοσοφία. τοῦτο δὲ, ἐν τῷ τηρεῖν τὸν ἔνδον δαίμονα ἀνύβριστον, καὶ ἀσινῆ, ἡδονῶν καὶ πόνων κρείσσονα, μηδὲν εἰκῆ ποιοῦντα, μηδὲ διεψευσμένως καὶ μεθ' ὑποκρίσεως· ἀνενδεῆ τοῦ ἄλλον ποιῆσαί τι, ἢ μὴ ποιῆσαι. ἔτι δὲ τὰ συμβαίνοντα καὶ ἀπονεμόμενα δεχόμενον, ὡς ἐκεῖθέν

ποθεν

πόθεν ἐρχόμενα, ὅθεν αὐτὸς ἦλθεν. ἢ πᾶσι τὸν θάνατον ἵλεῳ τῇ γνώμῃ περιμένοντα, ὡς οὐδὲν ἄλλο ἢ λύσιν τῶν στοιχείων, ἐξ ὧν ἕκαστον ζῶον συγκρίνεται. εἰ δὲ αὐτοῖς τοῖς στοιχείοις μηδὲν δεινὸν ἐν τῷ ἕκαστον διηνεκῶς εἰς ἕτερον μεταβάλλειν, διὰ τί ὑπίδηταί τις τὴν πάντων μεταβολὴν καὶ διάλυσιν; κατὰ φύσιν γὰρ· οὐδὲν δὲ κακὸν κατὰ φύσιν.

Τὰ ἐν Καρνουντῳ.

ΜΑΡΚΟΥ ΑΝΤΩΝΙ-νου αὐτοκράτορος, τῶν εἰς ἑαυτὸν Βιβλίον γ.

ΟΥΧΙ τοῦτο μόνον δεῖ λογίζεσθαι, ὅτι καθ' ἑκάστην ἡμέραν ἀπαναλίσκεται ὁ βίος, ὁ μέρος ἔλαττον αὐτοῦ καταλείπεται· ἀλλὰ κἀκεῖνο λογιστέον, ὅτι εἰ ἐπὶ πλέον βιώῃ τις, ἐκεῖνόγε ἄδηλον, εἰ ἐξαρκέσει ὁμοία αὖθις ἡ διάνοια πρὸς τὴν σύνεσιν τῶν πραγμάτων, καὶ τὴν θεωρίας τὴν συντεινούσης εἰς τὴν ἐμπειρίαν τῶν τεθείων καὶ τῶν ἀνθρω-

θρωπείων. Ἐὰν γὰρ παραληρεῖν ἄρξητε, τὸ μὲν διαπνεῖσθαι, καὶ τρέφεσθαι καὶ φαντάζεσθαι, καὶ ὁρμᾶν, καὶ ὅσα ἄλλα τοιαῦτα, οὐκ ἐνδεήσει. Τὸ δὲ ἑαυτῷ χρῆσθαι, καὶ τοῦ τῶν καθήκοντος ἀριθμοὺς ἀκριβοῦν, καὶ τὰ προφαινόμενα διαρθροῦν, καὶ περὶ αὐτοῦ τοῦ εἰ ἤδη ἐξακτέον αὐτὸν ἐφιστάνειν, καὶ ὅσα τοιαῦτα λογισμοῦ συγγεγυμνασμένου πάνυ χρήζει, προάποσβέννυται. χρὴ οὖν ἐπείγεσθαι, οὐ μόνον τῷ ἐγγυτέρῳ τοῦ θανάτου ἑκάστοτε γίνεσθαι, ἀλλὰ καὶ διὰ τὸ τὴν ἐννόησιν τῶν πραγμάτων καὶ τὴν παρακολούθησιν προαπολήγειν. χρὴ καὶ τὰ τοιαῦτα παραφυλάσσειν, ὅτι καὶ τὰ ἡδιγινόμενα τοῖς φύσει γινομένοις, ἔχει τι εὔχαρι καὶ ἐπαγωγὸν. οἷον ἄρτου ὀπτωμένου παραῤῥήγνυταί τινα μέρη. καὶ ταῦτα οὖν τὰ διέχοντα οὕτως καὶ τρόπον τινὰ παρὰ τὸ ἐπάγγελμα τῆς ἀρτοποιΐας ἔχοντα, ἡδὶ πρέπει πως καὶ προθυμίαν πρὸς τὴν τροφὴν ἰδίως ἀνακινεῖ. πάλιν τε τὰ σῦκα ὁπότε ὡραιότατά ἐστι κέχηνεν. καὶ ἐν ταῖς δρυπεπέσι ἐλαίαις, αὐτὸ τὸ ἐγγὺς τῇ σήψει, ἴδιόν τι κάλλος τῷ καρπῷ προστίθησιν. οἱ στάχυες δὲ κάτω νεύοντες, καὶ τὸ τοῦ λέοντος ἡδισκύνιον, καὶ ὁ τῶν συῶν ἐκ τοῦ στόματος ῥέων ἀφρὸς, καὶ πολλὰ ἕτερα κατ' ἰδίαν εἴ τις σκοποίη, πόῤῥω ὄντα τοῦ εὐειδοῦς, ὅμως δὲ τὸ τοῖς φύσει γινομένοις ἐπακολουθεῖν, συνεπικοσμεῖ,

καὶ

καὶ ψυχαγωγεῖ. ὥστε εἴ τις ἔχοι πάθος καὶ ἔν-
νοιαν βαθυτέραν πρὸς τὰ ἐν τῷ ὅλῳ γινόμενα,
σχεδὸν οὐδὲν οὐχὶ δόξει αὐτῷ καὶ τῶν κατ' ἐπα-
κολούθησιν συμβαινόντων ἡδέως πως διαγωνί-
σασθαι. οὕτως δὲ καὶ θηρίων ἀληθῆ χάσμα-
τα, οὐχ ἧσσον ἡδέως ὄψεται, ἢ ὅσα γραφεῖς,
καὶ πλάσται μιμούμενοι δεικνύουσιν. καὶ γραὸς
καὶ γέροντος ἀκμήν τινα καὶ ὥραν, καὶ τὸ ἐν
παισὶν ἐπαφρόδιτον, τοῖς ἑαυτοῦ σώφροσιν ὀφ-
θαλμοῖς ὁρᾷν δυνήσεται. καὶ πολλὰ τοιαῦ-
τα οὐ παντὶ πιθανὰ, μόνῳ δὲ τῷ πρὸς τὴν
φύσιν, καὶ τὰ ταύτης ἔργα γνησίως ᾠκειω-
μένῳ προσεῖται.

Ἱπποκράτης πολλὰς νόσους ἰασάμενος, κο-
σήσας ἀπέθανεν. οἱ χαλδαῖοι πολλῶν θανά-
τους προηγόρευσαν εἶτα καὶ αὐτοῦ τὸ πεπρω-
μένον κατέλαβεν. Ἀλέξανδρος καὶ Πομπήϊος,
καὶ Γαΐος Καῖσαρ, ὅλας πόλεις ἀρδὴν το-
σαυτάκις ἀνελόντες, καὶ ἐν παρατάξει πολ-
λὰς μυριάδας ἱππέων καὶ πεζῶν κατακόψαντες,
καὶ αὐτοί ποτε ἐξῆλθον τοῦ βίου. Ἡράκλειτος,
περὶ τοῦ κόσμου ἐκπυρώσεως τοσαῦτα φυ-
σιολογήσας, ὕδατος τὰ ἐντὸς πληρωθεὶς, βολ-
βίτῳ κατακεχρισμένος ἀπέθανεν. Δημό-
κριτον δὲ, οἱ φθεῖρες.

Σωκράτην δὲ, ἄλλοι φθεῖρες ἀπέκτειναν. Τί
ταῦτα;

ταῦτα; ἐνέβης, ἔπλευσας, κατήχθης; ἔκβηθι. εἰ μὲν ἐφ' ἕτερον βίον, οὐδὲν θεῶν κενὸν οὐδὲ ἐκεῖ. εἰ δὲ ἐν ἀναισθησίᾳ, παύσῃ πόνων καὶ ἡδονῶν ἀνεχόμενος, καὶ λατρεύων τοσούτῳ χείρονι τοῦ ἀγγείου. Ἢ περίεστι τὸ ὑπηρετοῦν· τὸ μὲν γὰρ νοῦς καὶ δαίμων, τὸ δὲ γῆ καὶ λύθρος. Μὴ κατατρίψῃς τὸ ὑπολιπόμενον τοῦ βίου μέρος ἐν ταῖς περὶ ἑτέρων φαντασίαις, ὁπόταν μὴ τῆς ἀναφορὰν ἐπί τι κοινωφελὲς ποιῇ. ἤτοι γὰρ ἄλλου ἔργου στέρῃ. Τοὐτέστι, φανταζόμενος τί ὁ δεῖνα πράσσει, καὶ τίνος ἕνεκεν; καὶ τί λέγει, καὶ τί ἐνθυμεῖται, καὶ τί τεχνάζεται, καὶ ὅσα τοιαῦτα ποιεῖ ἀπρρέμβεσθαι τῆς τοῦ ἰδίου ἡγεμονικοῦ παρατηρήσεως. Χρὴ μὲν οὖν καὶ τὰ εἰκῆ καὶ μάτην ἐν τοῦ εἱρμῷ τὴν φαντασιῶν περιίστασθαι· πολὺ δὲ μάλιστα τὸ περίεργον, καὶ κακόηθες. καὶ ἐθιστέον ἑαυτὸν, μόνα φαντάζεσθαι περὶ ὧν εἴ τις ἄφνω ἐπανέροιτο, τί νῦν διανοῇ, μετὰ παρρησίας παραχρῆμα ἂν ἀποκρίναιο, ὅτι δ', καὶ τὸ. ὡς ἐξ αὐτῶν εὐθὺς δῆλα εἶναι, ὅτι πάντα ἁπλᾶ καὶ εὐμενῆ, καὶ ζώου κοινωνικοῦ, καὶ ἀμελοῦντος ἡδονικῶν, ἢ καθάπαξ ἀπολαυστικῶν φαντασμάτην. ἢ φιλονεικίας τινὸς, ἢ βασκανίας καὶ ὑποψίας, ἢ ἄλλου τινὸς, ἐφ' ᾧ ἂν ἐρυθριάσειας ἐξηγούμενος, ὅτι ἐν νῷ αὐτὸ εἶχες. ὁ γάρ τοι ἀνὴρ ὁ τοιοῦτος, οὐκ ἔτι ὑπερτιθέμε-

v. An.

θ τὸ ὡς οἷόν τε ἄριστος ἤδη εἶναι, ἰδοὺ τις ὑπερέχει θεῶν, χρώμενος τῷ αὐτῷ ἰδρυμένῳ αὐτῷ, ὃ πρέπει τὸν ἄνθρωπον ἄχρι ἂν ἡδονὴν, ἢ πρόσω ἔτι τοῦ παντὸς πόνου, πάσης ὕβρεως ἀπαθῆ, πάσης ἀναίσθητον πονηρίας, ἀθλητὴν ἄθλου τοῦ μεγίστου, τοῦ ἔτι μηδενὸς πάθους κατα βληθῆναι, δικαιοσύνῃ βεβαμμένον εἰς βάθος, ἀσπαζόμενον ἐξ ὅλης ψυχῆς τὰ συμβαίνοντα, καὶ ἀφορμένον πάντα μὴ πολλοστὸν δὲ, μηδὲ χωρὶς μεγάλης τοῦ κοινωφελοῦς ἀναγκαῖον φανταζόμενον, τί γε ἄλλο λέγῃ, ἢ πράσσῃ, ἢ διανοεῖται. μόνα γὰρ τὰ ἔκ τοῦ πρὸς αὐτὸν ἔχει, καὶ τὰ ἔκ τῷ ἐμῷ τῆς ὅλου συγκλωθόμενα διηνεκῶς αἰνοῖ. καλὰ μὲν καλὰ πρέπεται, ταῦτα ὑπ' ἀνάγκης εἶναι πέπεισται. Ἡ γὰρ ἑκάστῳ νεμομένη μοῖρα συνεμφέρεταί τε καὶ συνεμφέρει. Μέμνηται δὲ καὶ ὅτι συγγενὲς πᾶν τὸ λογικόν. καὶ ὅτι κήδεσθαι μὲν πάντων ἀνθρώπων, κατὰ τὴν τοῦ ἀνθρώπου φύσιν ἐστίν. δόξης δὲ οὐχὶ τὰς πολλὰς τὰς ἀνθρώπους ἀνθεκτέον, ἀλλὰ τὰς ὁμολογουμένας τῇ φύσει βιούντων μόνον. οἱ δὲ μὴ οὕτως βιοῦντες, ὁποῖοί τινες οἴκοι τε καὶ ἔξω τοῦ οἴκου, καὶ νύκτωρ καὶ μεθ' ἡμέραν, οἷοι μεθ' οἵων φύρονται, ὧν μνημονεύειν διατελεῖ. οὐ τοίνυν οὐδὲ δόξης τὰς τοιούτων ἐπαίνους οὐ λόγῳ πάνυ εἰσὶ

οὐδὲ

οὐδὲ αὐτοὶ ἑαυτοῖς ἀρέσκονται. μήτε ἀκούσιος ἐνέργει, μήτε ἀκοινώνητος, μήτε ἀνεξέταστος, μήτε ἀνθελκόμενος, μήτε κομψεία τὴν διάνοιάν σου καλλωπιζέτω. μήτε πολυῤῥήμων, μήτε πολυπράγμων ἔσο· ἔτι δὲ ὁ ἐν σοὶ θεὸς ἔστω προστάτης ζώου ἄῤῥενος, καὶ πρεσβύτου, καὶ πολιτικοῦ, καὶ Ῥωμαίου, καὶ ἄρχοντος, ἀνατεταχότος ἑαυτὸν, οἷος ἂν εἴη τις παρεμένων τὸ ἀνακλητικὸν ἐκ τοῦ βίου εὔλυτος, μήτε ὅρκου δεόμενος, μήτε ἀνθρώπου τινὸς μάρτυρος. Ἐν δὲ τὸ φαιδρὸν, καὶ τὸ ἀπροσδεὲς τῆς ἔξωθεν ὑπηρεσίας, καὶ τὸ ἀπροσδεὲς ἡσυχίας, ἣν ἄλλοι παρέχουσιν. ὀρθὸν οὖν εἶναι χρὴ, οὐχὶ ὀρθούμενον. Εἰ μὲν κρεῖττον εὑρίσκεις ἐν τῷ ἀνθρωπίνῳ βίῳ δικαιοσύνης, ἀληθείας, σωφροσύνης, ἀνδρίας, καὶ καθάπαξ τοῦ ἀρκεῖσθαι ἑαυτῇ τὴν διάνοιάν σου ἐν οἷς κατὰ τὸν λόγον τὸν ὀρθὸν πράσσοντά σε πρέχεται, καὶ ἐν τῇ εἱμαρμένῃ, ἐν τοῖς ἀπροαιρέτως ἀπονεμομένοις· εἰ τούτου φημὶ κρεῖσσόν τι ὁρᾷς, ἐπ' ἐκεῖνο ἐξ ὅλης τῆς ψυχῆς τραπόμενος, τοῦ ἀρίστου εὑρισκομένου ἀπόλαυε. εἰ δὲ μηδὲν κρεῖττον φαίνεται αὐτοῦ τοῦ ἐνιδρυμένου ἐν σοὶ δαίμονος, τάς τε ἰδίας ὁρμὰς ὑποτεταχότος ἑαυτῷ, καὶ τὰς φαντασίας ἐξετάζοντος, καὶ τῶν αἰσθητικῶν πείσεων, ὡς ὁ Σωκράτης ἔλεγεν, ἑαυτὸν ἀφειλκυκότος,

καὶ τοῖς θεοῖς ἕπεσθε τὰ χόρτῳ ἑαυτὸν, καὶ τῇ ἀνθρώπων προκηδομένου· εἰ τούτου πάντα τὰ ἄλλα μικρότερα ᾧ δὺ τελέσθρα δύεσθαι, μηδενὶ χώραν δίδου ἔτρῳ, πρὸς ὃ φέρας ἅπαξ καὶ ἀκλίνασα, οὐκ ἔτι ἀποδιώκεσθαι δ' ἀγαθὸν ἐκεῖνο δ' ἴδιον, καὶ δ' σὸν πεπμᾶν διωκόμη. Ἀνλικα θῆσθαι γὰρ τοῦ λογικοῦ καὶ κοινικῷ ἀγαθῷ, οὐ θέμις οὐδ' ὅπου ἐπροφυλὲς· οἷον δ' ν πρὸ πολλῶν ἔπαινον, ἢ ἀρχὰς, ἢ πλοῦτον, ἢ ἀπολαύσεις ἡδονῶν. πάντα ταῦτα, κἂν πρὸς ὀλίγον ἀναρμόζειν δόξῃ, κατεκρατήσεν ἄφνω, καὶ πρήνεγκεν. Σὺ δὲ φρόμα ἁπλῶς καὶ ἐλθυθείως ἕλοῦ τὸ κρεῖπλον, ἢ τούτου ἀντέχε. κρεῖπλον δὲ, δ' συμφέρον. ἐὰ μὲν δ' ὡς λογικῷ, ταῦτα τήρει. ἐὰ δὲ δ' ὡς ζῴῳ, ἀποφήναι, κἠ ἀτύφως φύλαττε πλὴ κρίσιν μόνον, ὅπως ἀσφαλῶς τῆ ὁρμέται σιν κοινῷ. μὴ μιμόκης ποτὲ ὡς συμφέρον σε αὐτῷ, ὃ ἀναγκάσει σέ ποτε πλὴ πίστιν πρᾶξαι, πλὴ αἰδῶ ἐγκαταλιπεῖν, μισῆσαί τινα, ὑποπτεῦσαι, κατάρασθαι, ὑποκρίναι, ἐνθυμῆσαί τινι, τοίχων καὶ πραπετασμάτων δεομένου. ὁ γὰρ ἐν ἑαυτῷ νοῦν ᾧ δαίμονα, ᾧ τὰ ὄργανα τοῦτον αἰρετὸν προελόμενον, γραφῆναι οὐ ποιεῖ, ὃ σεναίζει, ὃν ἐρημίας, ὃ πολυπλοκείας δείσεται. Τὸ μέγιστον, ζήσει, μήτε διώκων, μήτε φεύ-

τε φεύγον. πότερον δὲ ὑπὲρ πλέον διάστημα χρόνου τοῦ σώματι περιεχομένῃ τῇ ψυχῇ, ἢ ἐπ' ἔλασσον χρήσεται, οὐδ' ὁτιοῦν αὐτῷ μέλει. κἂν γὰρ ἤδη ἀπαλλάσσεσθαι δέῃ, οὕτως εὐλύτως ἄπεισιν, ὡς ἄλλό τι τῶν αἰδημόνως καὶ κοσμίως ἐνεργεῖσθαι δυναμένων ἐνεργήσεων. οὗτος μόνος περ' ὅλον τὸν βίον εὐλαβούμενος, τὴν διάνοιαν ἔν τινι τῶν οἰκείων νεοροῦ πολιτικοῦ ζώου τροπῇ γενέσθαι, οὐδὲν ἂν ἐν τῇ διανοίᾳ τοῦ κεκολασμένου, καὶ ἐκκεκαθαρμένου πυῶδες, οὐδὲ μὴν μεμολυσμένον, οὐδὲ ὕπουλον εὕροις, οὐδὲ ἀσυντελῆ τὸν βίον αὐτοῦ ἡ πεπρομένη καταλαμβάνει, ὡς ἄν τις εἴποι τὸς τραγῳδὸς πρὸ τοῦ τελέσαι καὶ διαδραματίσαι ἀπαλλάσσεσθαι. ἔτι δὲ οὐδὲν δοῦλον, οὐδὲ κομψὸν, οὐδὲ προσδεδεμένον, οὐδὲ ἀπεσχισμένον, οὐδὲ ὑπεύθυνον, οὐδὲ ἐμφωλεῦον. τὴν ὑπολητικὴν δύναμιν σέβου. ἐν ταύτῃ δὲ πᾶν, ἵνα ὑπόληψις τοῦ ἡγεμονικῷ σου μηκέτι ἐγγένηται ἀνακόλουθον τῇ φύσει, καὶ τῇ τοῦ λογικοῦ ζώου κατασκευῇ. αὕτη δὲ ἐπαγγέλλεται ἀπροπτωσίαν, καὶ τὴν πρὸς ἀνθρώπους οἰκείωσιν, καὶ τὴν τοῖς θεοῖς ἀκολουθίαν. Πάντα οὖν ῥίψας, ταῦτα μόνον τὰ ὀλίγα σύνεχε. καὶ ἔτι συμμνημόνευε, ὅτι μόνον ζῇ ἕκαστος τὸ πρὸν οὗτος, τὸν ἀκαριαῖον· τὰ δ' ἄλλα, ἢ βεβίωται, ἢ ἐν ἀδήλῳ.

μικρὸν μὲν ὂν ὁ ζῆν ἔνεκεν, μικρὸν δὲ καὶ τῆς γῆς χωνίδιον, ὅσον ζῆν· μικρὸν δὲ καὶ ἡ μακρὰ ὑστεροφημία. καὶ αὐτὴ δὲ κ' ὅλα δοχλὼ ἀνθρωπίων τάχιστα τεθνηξομένων, καὶ ὑπ' εἰδότων δὲ ἑαυτοὺς, ὅτε γε τὸν πρόπαλαι τεθνηκότα. τοῖς δ' εἰ ῥηθείσιν πρασήμασιν οἷ ἔπι προσέσω, τὸ ὅρον ἢ ὑποληφθὲν ἀεὶ ποιεῖσθ' τ' ὑποπίπτον τ' φαντασθ', ὥστε αὐτὸ ὁποῖόν ὄσι κατ' οὐσίαν γυμνὸν, ὅλον δ' ὅλον διηρημένως ἐλέπειν τὸ ἴδιον ὄνομα αὐτ', ὃ τὰ ὀνόματα ἐκείνων ἐξ ὧν συνεκρίθη, καὶ εἰς ἃ ἀναλυθήσεται, λέγειν πρὸ ἑαυτῷ. ὀδὸν γὰρ ὅτως μεγαλοφρόνως ποιητικὴν, ὡς τὸ ἐλέγχειν ὁδῷ καὶ ἀληθείᾳ ἕκαστον τῶν τῷ βίῳ ὑποπιπόντων διώκεσθαι, καὶ τὸ ἀεὶ ὅτως εἰς αὐτὰ ὁρᾶν, ὥστε συνεπβάλλειν ὁποίῳ τινὶ τῷ νόμῳ, οἵαν τινὰ ζῶν χρείαν παρέχομεν, τίνα μὲν ἔχει ἀξίαν ὡς πρὸς ἄλλον, τίνα δὲ ὡς πρὸς τὸν ἄνθρωπον, πολίτην ὄντα πόλεως τ' ἀνωτάτης, ἧς αἱ λοιπαὶ πόλεις ὡσανεὶ οἰκίαι εἰσίν.

Τί ἐστι, καὶ ἐκ τίνων συγκέκριται, καὶ τίνα χρόνον πέφυκε παραμένειν ὁ τῷ φαντασίαν μοι νῦν ποιοῦν, καὶ τίνος ἀρετῆς πρὸς αὐτὸ χρεία; οἷον ἠμερότητος, ἀνδρείας, ἀληθείας, πίστεως, ἀφελείας, αὐταρκείας, τῶν λοιπῶν. διὸ δεῖ ἐφ' ἑκάστου λέγειν, ὅδε μὲν

μὴν πρὸς θεοῦ ἥκει, δόξῃ δὲ κἀμοὶ σύμμιξιν, καὶ τῶν συμμηνομένων σύγκλωσιν, καὶ τὸ τοιοῦτον ζωὴ τυγχάνειν τε καὶ τύχῃ. δόξῃ δὲ πρὸς τοῦ συμφύλου καὶ συγγενοῦς καὶ κοινωνοῦ, ἀγνοοῦντός μοί τοι ὅπῃ ποτὲ αὐτῷ κατὰ φύσιν ἐστὶν ὀλίγῃ ἐγὼ ἐκ ἀγνοῶ. ἀλλὰ δόξῃ χωρῶμαι αὐτῷ κατὰ τὸν τῆς κοινωνίας φυσικὸν νόμον, δίκαιος, καὶ δικαίως, ἅμα μέντοι τῷ κατ' ἀξίαν οἱ τοῖς μέσοις συνοχάζομαι.

Ἐὰν δ' πρὸν ἀνεργῆς, ἑπόμενος τῷ ὀρθῷ λόγῳ ἐπουδασμένως, ἐρρωμένως, δυμενῶς, ἀμηδὲν πρεμπόρευμα, ἀλλὰ τὸν ἑαυτοῦ δαίμονα καθαρὸν ἑστῶτα τηρῇς, ὡς εἰ καὶ ἤδη ἀπαιτοῦναι δέοι, ἐὰν δόξῃ ζωὴ πῆς μηδὲ ἀνθρωπίνως, μηδὲ φεύγων, ἀλλὰ τῇ προούσῃ κατὰ φύσιν ἐνεργείᾳ, καὶ τῇ ἂν λέγεις καὶ φθέγγῃ, ἡρωϊκῇ ἀληθείᾳ ἀρκούμενος, διαζώσεις. ἔστι δὲ ὃ δεῖς ὁ δόξῃ κωλύσαι διαιτώμενος. ὅπωρ οἱ ἰατροὶ ἀεὶ τὰ ὄργανα ἢ σιδήρια πρόχειρα ἔχουσι πρὸς τὰ αἰφνίδια τῆς θεραπευμάτων· οὕτω τὰ δόγματα σὺ ἕτοιμα ἔχε πρὸς τὸ τὰ θεῖα καὶ ἀνθρώπινα εἰδέναι, καὶ παῦ μὴ δι' μικροῦ ἄνδρα ὄντα ποιεῖν, ὡς τῆς ἀμφοτέρων πρὸς ἄλληλα συνδέσεως μεμνημένον. ὅτε γὰρ ἀνθρώπινόν τι αὖθις τῶν ἰδίων τὰ θεῖα ζωοφορᾶς διαπράξῃ, ὅτε ἔμπαλιν. Μηκέτι πλανῶ, ὅτε μὴ τὰ ὑπομνήματά σου μέλλῃς ἀνα-

γινώσκειν, οὔτε τὰς τῶν ἀρχαίων Ῥωμαίων καὶ
Ἑλλήνων πράξεις, καὶ τὰς ἐκ τῶν συγγραμ-
μάτων ἐκλογάς, ἃς εἰς τὸ γῆρας σαυτῷ ἀπο-
τίθεσο. πρὸς δὲ οὖν εὖ τέλος, καὶ τὰς κενὰς
ἐλπίδας ἀφεὶς, σαυτῷ βοήθει, εἴ τι σοι μέλει
σεαυτοῦ ὡς ἔξεστιν. Οὐκ ἴσασι πόσα σημαίνει τὸ
κλέπτειν, τὸ σπείρειν, τὸ ὠνεῖσθαι, τὸ ἡσυχάζειν,
τὸ ὁρᾶν τὰ πρακτέα, ὃ οὐκ ὀφθαλμοῖς γίνεται,
ἀλλ' ἑτέρᾳ τινὶ ὄψει. σῶμα, ψυχὴ, νοῦς, σώμα-
τος αἰσθήσεις, ψυχῆς ὁρμαὶ, νοῦ δόγματα.
Τὸ μὲν τυποῦσθαι φαντασικῶς, καὶ τῶν βοσ-
κημάτων· τὸ δὲ νευροσπαστεῖσθαι ὁρμητικῶς, καὶ
τῶν θηρίων, καὶ τῶν ἀνδραγύνων, καὶ Φαλαρί-
ριδος, καὶ Νέρωνος. τὸ δὲ τὸν νοῦν ἡγεμό-
να ἔχειν ἰδὶ τὰ φαινόμενα καθήκοντα, καὶ
τῶν θεοὺς μὴ νομιζόντων, καὶ τῶν τὴν ποτέ-
δα ἐγκαταλειπόντων, καὶ τῶν ποιοῦντων ἐτε-
δαὶ κλείσασι τὰς θύρας. * Εἰ οὖν τὰ λοιπὰ κε-
νά ἐστι πρὸς τὰ εἰρημένα, λοιπὸν τὸ ἴδιόν ἐστι τὸ
ἀγαθοῦ, φιλεῖν μὲν καὶ ἀσπάζεσθαι τὰ συμβαί-
νοντα, καὶ συγκλωθόμενα αὐτῷ· τὸν δὲ ἐνδόν-
τῳ στήθει ἱδρυμένον δαίμονα μὴ φύρειν, μηδὲ θο-
ρυβεῖν ὄχλῳ φαντασιῶν, ἀλλὰ ἵλεων δεῖν τη-
ρεῖν, κοσμίως ἑπόμενον ὡς θεῷ, μήτε φθεγ-
γόμενόν τι παρὰ τὰ ἀληθῆ, μήτε ἐνεργοῦντα πα-
ρὰ τὰ δίκαια. || εἰ δὲ ἀπιστοῦσιν αὐτῷ πάντες
ἀνθρω-

ἄνθρωποι, ὅτι ἁπλῶς καὶ αἰδημόνως καὶ εὐθύμως βιοῖ, οὔτε χαλεπαίνει τινὶ τούτων, οὔτε παρατρέπεται τῆς ὁδοῦ τῆς ἀγούσης ἐπὶ τὸ τέλος τοῦ βίου, ἐφ' ὃ δεῖ ἐλθεῖν καθαρὸν, ἡσύχιον, εὔλυτον, ἀβιαίστως τῇ ἑαυτοῦ μοίρᾳ συνηρμοσμένον.

ΜΆΡΚΟΥ ΑΝΤΩΝΙ-νου αὐτοκράτορος, τῶν εἰς ἑαυτὸν Βιβλίον δ'.



Τὸ ἔνδον κυριεῦον, ὅταν κατὰ φύσιν ἔχῃ, οὕτως ἕστηκε πρὸς τὰ συμβαίνοντα, ὥστε ἀεὶ πρὸς οὐ δυνατὸν ὃ διδόμενον μετατίθεσθαι ῥᾳδίως. ὕλην γὰρ ἀρτεταγμένην οὐδεμίαν φιλεῖ· ἀλλὰ ὁρμᾷ μὲν πρὸς τὰ ἡγούμενα μεθ' ὑπεξαιρέσεως, τὸ δὲ ἀντεισαγόμενον ὕλην ἑαυτῷ ποιεῖ. ὥσπερ τὸ πῦρ, ὅταν ἐπικρατῇ τῶν ἐπεμπιπτόντων, ὑφ' ὧν ἂν μικρός τις λύχνος εὐβέσθη. τὸ δὲ λαμπρὸν πῦρ, τάχιστα ἐξῳκείωσεν ἑαυτῷ τὰ ἐπιφορούμενα, καὶ κατηνάλωσεν, καὶ ἐξ αὐτῶν ἐκείνων τῶν μεῖζον ἤρθη. Μηδὲν ἐνέργημα εἰκῇ, μηδὲ ἄλλως ἢ κατὰ θεώρημα συμπληρωτικὸν τῆς τέχνης ἐνεργείσθω. Ἀναχωρήσεις αὐτοῖς ζητοῦσιν ἀγροικίας,

τὴν αἰγιαλὸς, καὶ ὄρη· εἴωθας γὰρ σὺ τὰ διαῦ-
τα μᾶλλον ποθεῖν. ὅλη γὰρ δεῖ ἰδιωτικώτε-
τον εἶναι, ἔχον ἧς αὖ ὥρας ἐπιθυμήσῃς εἰς ἑαυτὸν ἀ-
ναχωρεῖν. οὐδαμοῦ γὰρ οὕτε ἡσυχιώτερον, οὔτε
ἀπραγμονέστερον ἄνθρωπος ἀναχωρεῖ, ἢ εἰς
τὴν ἑαυτοῦ ψυχήν· μάλιστα δ' ὅστις ἔχει ἔνδον τοιαῦ-
τα, εἰς ἃ ἐγκύψας, εὐπάσῃ εὐμαρείᾳ εὐνομὸς
γίνεται· τοῦτο δὲ εὐμάρειαν εὐδαιμονίαν ἄλλο λέγω, ἢ
εὐνομίαν. Συνεχῶς οὖν δίδου σεαυτῷ τούτου
τοῦ ἀναχώρησιν, καὶ ἀνανέου σεαυτόν. Βραχέα
δὲ ἔστω καὶ στοιχειώδη, ἃ εὐθὺς ἀπαντήσαντα,
ἀρκούσει εἰς τὸ πᾶσαν αὐτοῦ ἀχθηδόνα λῦσαι, καὶ
ἀποπέμψαί σε, μὴ δυσχεραίνοντα ἐκείνοις ἐφ' οἷς
ἐπανέρχῃ. Τίνι γὰρ δυσχεραίνεις; τῇ τῶν ἀν-
θρώπων κακίᾳ; ἀναλογισάμενος τὸ κρῖμα, ὅτι
τὰ λογικὰ ζῶα ἀλλήλων ἕνεκεν γέγονεν· ἢ ὅτι
τὸ ἀνέχεσθαι μέρος τῆς δικαιοσύνης· καὶ ὅτι
ἄκοντες ἁμαρτάνουσι, καὶ πόσοι ἤδη διεχθρεύ-
σαντες, ὑποπτεύσαντες, μισήσαντες, παρε-
βαλόντες ἐκτέταντο, τετέφρωντο, πάντα
ποτέ. ἀλλὰ καὶ σοῖς ἐπὶ τὸ ὄλεθρον ἀπονενοημένοις
δυσχεραίνεις, ἀνανεωσάμενος τὸ διεζευγμένον,
ἅπτοι πρόνοια, ἢ ἄτομοι, ἢ ἄλλο ὅσον ἀποδείξαι,
ὅτι ὁ κόσμος ὡσανεὶ πόλις. ἀλλὰ τὰ σωματικά
σου ἅπτεται; ἐπινοήσας ὅτι ἀκίνητα τῆς διανοίας
ὡς ἢ τραχέως κινουμένῳ πνεύματι ἢ διανοίᾳ,

ἐπα-

ἐπειδὰν ἅπαξ ἑαυτὴν ἀφρλάβῃ, καὶ γνωρίσῃ τὴν ἰδίαν ἐξουσίαν. καὶ λοιπὸν ὅσα περὶ πόνου καὶ ἡδονῆς ἀκήκοας, ὃ συγκατέθου. Ἀλλὰ τὸ δοξάριόν σε περιπαίσει. ἀπιδὼν εἰς τὸ τάχος τῆς πάντων λήθης, καὶ τὸ χάος τοῦ ἐφ' ἑκάτερα ἀπείρου αἰῶνος, καὶ τὸ κενὸν τῆς ἀπηχήσεως, καὶ τὸ εὐματάβολον καὶ ἄκριτον τῶν ἐφ' ἡμῖν δοκούντων, καὶ τὸ στενὸν τοῦ τόπου ἐν ᾧ περιγράφεται. ὅλητε γὰρ ἡ γῆ στιγμὴ, καὶ ταύτης πόσον γωνίδιον ἡ κατοίκησις αὕτη; καὶ ἐν ταῦθα πόσοι, καὶ οἷοί τινες οἱ ἐπαινεσόμενοι; Λοιπὸν οὖν μέμνησο τῆς ὑποχωρήσεως τῆς εἰς τοῦτο τὸ ἀρθρίδιον ἑαυτοῦ, καὶ πρὸ παντὸς μὴ πῶ, μηδὲ κατεντείνου, ἀλλὰ ἐλεύθερος ἔσο, καὶ ὅρα τὰ πράγματα ὡς ἀνὴρ, ὡς ἄνθρωπος, ὡς πολίτης, ὡς θνητὸν ζῶον. Ἐν δὲ τοῖς προχειροτάτοις εἰς ἃ ἐγκύψεις, ταῦτα ἔστω τὰ δύο. ἓν μὲν, ὅτι τὰ πράγματα οὐχ ἅπτεται τῆς ψυχῆς, ἀλλ' ἔξω ἕστηκεν ἀτρεμοῦντα· αἱ δὲ ὀχλήσεις, ἐκ μόνης τῆς ἔνδον ὑπολήψεως. ἕτερον, δὲ ὅτι πάντα ταῦτα ὅσα ὁρᾷς, ὅσον οὐδέπω μεταβαλλει, ὡς οὐκ ἔτι ἔσται· καὶ ὅσον ἤδη μεταβολαῖς αὐτὸς παρατετύχηκας, συνεχῶς διανοοῦ. ὁ κόσμος, ἀλλοίωσις· ὁ βίος, ὑπόληψις. Εἰ τὸ νοερὸν ἡμῖν κοινὸν, καὶ ὁ λόγος καθ' ὃν λογικοί εἰσμεν κοινός· εἰ τοῦτο, καὶ ὁ προστακτικὸς

statim

νοερὸν

κὸς τῶν ποιητέων, ἢ μὴ, λόγος κοινός· εἰ οὖν, καὶ ὁ νόμος κοινός. εἰ οὖν, πολῖται εὐμὲν· εἰ τοῦτο, πολιτεύματός τινος μετέχομεν· εἰ τοῦτο, ὁ κόσμος ὡσανεὶ πόλις ἐστὶ. τίνος γὰρ ἄλλου φήσει τις, τὸ τῶν ἀνθρώπων παῦ γένος κοινοῦ πολιτεύματος μετέχειν; ἐκεῖθεν δὲ ἐκ τῆς κοινῆς ταύτης πόλεως, καὶ αὐτὸ τὸ νοερὸν καὶ λογικὸν καὶ νομικὸν ἡμῖν, ἢ πόθεν; ὥσπερ γὰρ τὸ γεῶδές μοι ἀπό τινος γῆς ἀπομεμέρισται, ὁ τὸ ὑγρὸν ἀφ' ἑτέρου στοιχείου, καὶ τὸ πνευματικὸν ἀπὸ πηγῆς τινος, καὶ τὸ θερμὸν καὶ πυρῶδες ἔκ τινος ἰδίας πηγῆς (οὐδὲν γὰρ ἐκ τοῦ μηδενὸς ἔρχεται, ὥσπερ μήδ' εἰς τὸ οὐκ ὂν ἀπέρχεται) οὕτω δὴ καὶ τὸ νοερὸν ἥκει ποθὲν. Ὁ θάνατος τοιοῦτος, οἷον γένεσις, φύσεως μυστήριον, σύγκρισις ἐκ τῶν αὐτῶν στοιχείων εἰς ταυτὰ, ὅλως δ' οὐκ ἐφ' ᾧ ἄν τις αἰσχυνθείη. οὐ γὰρ παρὰ τὸ ἑξῆς τῷ νοερῷ ζώῳ, οὐδὲ παρὰ τὸν λόγον τῆς παρασκευῆς. ταῦτα οὕτως ὑπὸ τῶν τοιούτων πέφυκε γίνεσθαι ἐξ ἀνάγκης. ὁ δὲ τοῦτο μὴ θέλων, θέλει τὴν συκῆν ὀπὸν μὴ ἔχειν. ὅλως δ' ἐκεῖνο μέμνησο, ὅτι ἐν τῆς ὀλιγίστου χρόνου καὶ σὺ καὶ οὗτος τεθνήξεσθε· μετὰ βραχὺ δέ, οὐδὲ ὄνομα ὑμῶν ὑπολειφθήσεται. Ἆρον τὴν ὑπόληψιν, ἦρται τὸ βέβλαμμαι. ἆρον τὸ βέβλαμμαι, ἦρται ἡ βλάβη. ὃ χείρω αὐτὸν ἑαυτοῦ ἄνθρωπον οὐ ποιεῖ, τοῦτο οὐδὲ τὸν βίον

αὐτοῦ

αὐτοῦ χείρω ποιεῖ, οὐδὲ βλάπτει, οὔτε ἔξωθεν, οὔτε ἔνδοθεν. ἠνάγκασται ἡ τοῦ συμφέροντος φύσις τοῦτο ποιεῖν· ὅτι πᾶν τὸ συμβαίνοντος, δικαίως συμβαίνει. ὃ ἐὰν ἀκριβῶν παραφυλάσσῃς, εὑρήσεις, οὐ λέγω μόνον κατὰ τὸ ἑξῆς, ἀλλ' ὅτι κατὰ τὸ δίκαιον, καὶ ὡς ἂν ὑπό τινος ἀχρέμοντος καὶ κατ' ἀξίαν. παραφύλασσε οὖν ὡς ἤρξω· καὶ ὅ, τι ἂν ποιῇς, σὺν τούτῳ ποίει, σὺν τὸ ἀγαθὸς εἶναι· καθ' ὃ νενόηται ἰδίως ὁ ἀγαθὸς, τοῦτο ὑπὲρ πάσης ἐνεργείας σῶζε. Μὴ τοιαῦτα ὑπολαμβάνε, οἷα ὁ ὑβρίζων κρίνειν ἢ οἷα σε κρίνειν βούλεται. ἀλλὰ ἴδε αὐτὰ, ὁποῖα κατ' ἀλήθειάν ἐστι. δύο ταύτας ἑτοιμότητας ἔχειν ἀεὶ δεῖ, τὴν μὲν, πρὸς τὸ πρᾶξαι μόνον, ὅπερ ἂν ὁ τῆς βασιλικῆς καὶ νομοθετικῆς λόγος ὑποβάλλῃ, ἐπ' ὠφελείᾳ ἀνθρώπων. τὴν δὲ, πρὸς τὸ μεταθέσθαι, ἐὰν ἄρα τις παρῇ διορθῶν καὶ μετάγων ἀπό τινος οἰήσεως. Τὴν μέντοι μεταγωγὴν, ἀεὶ ἀπό τινος πιθανότητος ὡς δικαίου, ἢ κοινωφελοῦς γίνεσθαι, καὶ τὰ παραπλήσια τοιαῦτα μόνον εἶναι δεῖ, οὐχ ὅτι ἡδὺ ἢ ἔνδοξον ἐφάνη. Λόγον ἔχεις; ἔχω. τί οὖν οὐ χρᾷ; τούτου δὲ τὸ ἑαυτοῦ ποιοῦντος, τί ἄλλο θέλεις; Ἐννυπέστης ὡς μέρος ἐναφανισθήσῃ τῷ γενήσαντι· μᾶλλον δὲ ἀναληφθήσῃ εἰς τὸν λόγον αὐτοῦ τὸν σπερματικὸν κατὰ μεταβολήν. Πολλὰ λιβανωτοῦ βωλάρια ὑπὲρ τοῦ

p. 190.

αὐτοῦ

αὐτοῦ βωμοῦ, τὰ μὲν προκατέπεσεν, τὰ δ' ὕστε-
ρον. διαφέρει δ' οὐδέν. Ἐντὸς δέκα ἡμερῶν
θεὸς αὐτοῖς δόξεις, οἷς νῦν θηρίοις καὶ πίθη-
κος, ἐὰν ἀνακάμψῃς ἐπὶ τὰ δόγματα, καὶ τὸν
σεβασμὸν τοῦ λόγου, μὴ ὡς μύρια μέλλοις ἔτη
ζῆν. τὸ χρεὼν ἐπήρτηται, ἕως ζῆς, ἕως ἔξεστιν,
ἀγαθὸς γένου. Ὅσην ἀσχολίαν κερδαίνει ὁ μὴ βλέ-
πων, τί ὁ πλησίον εἶπεν, ἢ ἔπραξεν, ἢ διενοήθη·
ἀλλὰ μόνον τί αὐτὸς ποιεῖ, ἵνα αὐτὸ τοῦτο δί-
καιον ᾖ, καὶ ὅσιον, ἢ κατὰ τὸν ἀγαθὸν μὴ μέλαν
ἦθος περιβλέπεσθαι, ἀλλ' ἐπὶ τῆς γραμμῆς
τρέχειν ὀρθὸν, μὴ διερριμμένον. Ὁ περὶ τὴν ὑ-
στεροφημίαν ἐπτοημένος οὐ φαντάζεται, ὅτι ἕ-
καστος τῶν μεμνημένων αὐτοῦ τάχιστα καὶ αὐ-
τὸς ἀποθανεῖται. εἶτα πάλιν καὶ αὐτὸς ὁ ἐκεῖ-
νον διαδεξάμενος, μέχρι καὶ πᾶσα ἡ μνήμη ἀ-
ποσβῇ διὰ ἐπτοημένων καὶ σβεννυμένων πρεῖσα.
Ὑπόθου δ' ὅτι ὁ ἀθάνατοι μὲν οἱ μεμνησόμενοι,
ἀθάνατος δ' ἡ μνήμη, τί οὖν τοῦτο πρὸς σέ; καὶ
οὐδὲν λέγω ὅτι πρὸς τὸν τεθνηκότα, ἀλλὰ πρὸς
τὸν ζῶντα; τί ὁ ἔπαινος; πλὴν ἄρα δι' οἰκονο-
μίαν τινά· πάρεσθ γὰρ νῦν ἀκαίρως τὴν φυσι-
κὴν δόσιν, ἄλλου τινὸς ἐχόμενον λόγου λοιπόν.
Γᾶν τὰ καὶ ὁπωσοῦν καλὸν, ἐξ ἑαυτοῦ καλόν
ἐστι, καὶ ἐφ' ἑαυτῷ καταλήγει, οὐκ ἔχον μέρος ἑαυ-
τοῦ ὃν ἔπαινον· οὔτε γοῦν χεῖρον ἢ κρεῖττον γίνε-
ται.

vid. Ann. & Hoffm.

ται δ' ἐπαινούμενον. τοῦτό φημι καὶ ὑπὲρ τῶν κοινότερον καλῶν λεγομένων· οἷον ὑπὲρ τῶν ὑλικῶν, καὶ ὑπὲρ τῶν τεχνικῶν κατασκευασμάτων. Τὸ δὲ δι' ὄντως καλὸν τινὸς χρείαν ἔχει, οὐ μᾶλλον ἢ νόμος, οὐ μᾶλλον ἢ ἀλήθεια· οὐ μᾶλλον ἢ εὔνοια, ἢ αἰδὼς, τί τοῦτον διὰ τὸ ἐπαινεῖσθαι καλόν ἐστιν, ἢ ψεγόμενον φθείρεται; σμαραγδίον γὰρ ἑαυτοῦ χεῖρον γίνεται, ἐὰν μὴ ἐπαινῆται; τί δὲ χρυσὸς, ἐλέφας, πορφύρα, μαχαίριον, ἀνθύλλιον, δενδρύφιον; Εἰ διαμένουσιν αἱ ψυχαὶ, πῶς αὐτὰς ἐξ ἀϊδίου χωρεῖ ὁ ἀήρ· πῶς δὲ ἡ γῆ χωρεῖ τὰ τῶν ἐκ τοσούτου αἰῶνος θαπτομένων σώματα· ὥσπερ γὰρ ἐνθάδε, ἡ τοῦτον πρὸς ἥν τινα ὑπὲρ διαμονὴν μεταβολὴ καὶ διάλυσις χώραν ἄλλοις νέκροις ποιεῖ, οὕτως αἱ εἰς ἓν ἀέρα μεθυστάμεναι ψυχαὶ, ἐπὶ πόσον συμμείνασαι μεταβάλλουσι, καὶ χέονται, καὶ ἐξάπτονται, εἰς τὸν τῶν ὅλων σπερματικὸν λόγον ἀναλαμβανόμεναι. καὶ τοῦτον τὸν τρόπον χώραν ταῖς προσυνοικιζομέναις παρέχουσι. Τοῦτο δ' ἄν τις ἀγρηρίναιτο, ἐφ' ὑποθέσει τῶν τὰς ψυψὰς διαμένειν. χρὴ δὲ μὴ μόνον ἐνθυμεῖσθαι δ' πλῆθος τῶν θαπτομένων οὕτωσὶ σωμάτων, ἄλλα καὶ δ' τῶν ἑκάστης ἡμέρας ἐσθιομένων ζώων, ὑφ' ἡμῶν τε καὶ τῶν ἄλλων ζώων. ὅσος γὰρ ἀριθμὸς καταναλίσκεται, καὶ οὕτωσί πως θάπτεται ἐν τοῖς τῶν

τρεφο-

πρεφομένων σώμασι, καὶ ὅμως δέχεται ἡ χέρα
αὕτη διὰ τὰς ἰδιοματώσεις, διὰ τὰς εἰς θ
ἀερώδες ἢ πυρώδες ἀλλοιώσεις. πῆ ὧδε τέ-
τευ ἡ ἰσοτέλεια τ᾽ ἀληθείας; διαίρεσις εἰς τ᾽ ὑλι-
κόν, καὶ εἰς τ᾽ αἰτιῶδες μὴ ἀκριβέμβεαζ, δηλ
ὧδε πάσης ὁρμῆς τ᾽ δίκαιον ἀκριδόναι. © ὧδε
πάσης φαντασίας σώζθ τὸ καταληπτικόν. παῦ
μοι ζωαρμόζθ, ὃ σοὶ δυάρμοστόν ὄθι, ὦ κόσμε· τὸ
δέν μοι πρόωρον, δδὲ ὄψιμον, τὸ σοὶ δύκαιρον·
πᾶν μοι καρπὸς, ὃ φέρουσιν αἱ ζωαὶ ὧραι. ὦ φύ-
σις, ἐκ σοῦ πάντα, ἐν σοὶ πάντα, εἰς σὲ πάν-
τα. ἐκεῖνθ μὴν φησι, πόλι φίλη Κέκροπθ.
σὺ γὰρ ἐρεῖς, ὦ πόλι φίλη διός; ὀλίγα πρὸς τ
φησιν, εἰ μέλθς δυθυμῆσειν· μηδὲν ἄμεινον πρ
ἀναγκαῖα πράσθ, καὶ ὅσα ὁ τῆ φύσει πολι-
τικοῦ ζώου λόγθ αἱρεῖ, καὶ ὡς αἱρεῖ. πῆ γὰρ τὸ
μόνον τῷ ἀπὸ τῆ καλῆς πράσθ δυθυμίαν
φέρει, ἀλλὰ καὶ τῷ ἀπὸ τῆ ὀλίγα πράσθ. τὰ
πολεῖσα δ᾽ ὧν λέγομεν μὴ πράσομεν, ὡς ἀναγ-
καῖα ὄντα, ἐάν τις πολυέλη, δυαχολόθτορθ καὶ
ἀταρακτότορθ ἔσαι. ὅθεν δεῖ μὴ πρόχειρα
αὐτῆ ζωομνήσθ, μή τι τῆδε τ᾽ ἀναγκαίαι.
Δεῖ γὰρ μὴ μόνον πράξθς τὰς μὴ ἀναγκαίας πρ-
αιρεῖν, ἀλλὰ καὶ φαντασίας· ὅτως δ᾽ ὧδε πρ-
ξεις προέλθουσαι ἐπακόλυθα θήσουσι. πείρασον πῶς
σοι χωρεῖ καὶ ὁ τῆ ἀγαθοῦ αὐθρώπου βίθ,
τῆ

τοῦ ἀρεσκομένου μὲν τοῖς ἐκ τῶν ὅλων ἀρνεμο-
μένοις, ἀρκουμένου δὲ τῇ ἰδίᾳ πράξει δικαίᾳ καὶ
διαθέσει εὐμενεῖ. ἑώρακας ἐκεῖνα ἴδε καὶ ταῦ-
τα. Σεαυτὸν μὴ τάρασσε. ἄπλωτον σεαυτόν.
ἁμαρτάνει τις; ἑαυτῷ ἁμαρτάνει. Συμβεβηκέ-
τοι τί καλῶς, ἐκ τῶν ὅλων ἀπ' ἀρχῆς τοι συγ-
καθείμαρτο, καὶ συνεκλώθετο πᾶν τὸ συμ-
βαῖνον. Τὸ δ' ὅλον βραχὺς ὁ βίος· κερδαντέον
μένος. οἷόν ἐστιν ἐν ἡνωμένοις τὰ μέλη τοῦ σώματος, τοῦτον ἔχει τὸν λόγον ἐν διεστῶσι τὰ λογικὰ, πρὸς μίαν τινὰ συνεργίαν κατεσκευασμένα. μᾶλλον δέ σοι ἡ τούτου νόησις προσπεσεῖται ἐὰν πρὸς ἑαυτὸν πολλάκις λέγῃς, ὅτι μέλος εἰμὶ τοῦ ἐκ τῶν λογικῶν συστήματος. ἐὰν δὲ διὰ τοῦ ῥωστοιχείου μέρος εἶναι ἑαυτὸν λέγῃς, οὔπω ἀπὸ καρδίας φιλεῖς τοὺς ἀνθρώπους· οὔπωσε καταληπτικῶς εὐφραίνει τὸ εὐεργετεῖν. ἔτι ὡς πρέπον αὐτὸ ψιλὸν ποιεῖς· οὔπω ὡς αὐτὸν εὖ ποιῶν. ὃ θέλει ἔξωθεν προσπιπτέτω τοῖς παθεῖν ἐκ τῆς προσπτώσεως ταύτης δυναμένοις. ἐκεῖνα τὰ ἐὰν θελήσῃ μέμψεται τὰ παθόντα. ἐγὼ δὲ ἐὰν μὴ ὑπολάβω ὅτι κακὸν τὸ συμβεβηκὸς, οὔπω βέβλαμμαι. ἔξεστι δέ μοι μὴ ὑπολαβεῖν. ὅ, τι ἂν τις ποιῇ ἢ λέγῃ, ἐμὲ δεῖ ἀγαθὸν εἶναι. ὡς ἂν εἰ ὁ χρυσὸς ἢ ὁ σμάραγδος, ἢ ἡ πορφύρα τοῦτο ἀεὶ ἔλεγεν, ὅ, τις ἂν ποιῇ, ἢ λέγῃ, ἐμὲ δεῖ σμάραγδον εἶναι, καὶ τὸ ἐμαυτοῦ χρῶμα ἔχειν. τὸ ἡγεμονικὸν, αὐτὸ ἑαυτῷ οὐχ ἐνοχλεῖ. οἷον λέγω, οὐ φοβεῖ ἑαυτὸ εἰς ὑπιθυμίαν. εἰ δὲ τίς ἄλλος αὐτὸ φοβῆσαι ἢ λυπῆσαι δύναται, ποιείτω. αὐτὸ γὰρ ἑαυτὸ ὑπολητικῶς οὐ τρέψει εἰς τοιαύτας τροπάς. τὸ σωμάτιον μὴ πάθῃ τι, αὐτὸ μεριμναίτω εἰ δύναται, καὶ λεγέτω εἴ τι πάσχει. τὸ δὲ ψυχάριον, τὸ φοβούμενον, τὸ λυπούμενον, τὸ περὶ τούτων ὅλως ὑπολαμβάνον, οὐδὲν μὴ πά-

θῃ. οὐ

θη. ὀπὶ ἔξῆς αὐτὸ εἰς κείσιν διαύτῳ. ἀπροσδεές ὄσιν ὅσον ἐφ' ἑαυτῷ, τὸ ἡγεμονικὸν, ἐὰν μὴ ἑαυτῷ ᾖδφαν ποιῆ. κατὰ ταυτὰ ᾖ ἀτάραχον, καὶ ἀνεμπόδιστον, ἐὰν μὴ ἑαυτὸ ταραττῃ καὶ ἐμποδίζῃ. Εὐδαιμονία ὄσι, δαίμων ἀγαθὸς, ἢ ἀγαθόν. τί δῆτ' ὧδε ποιεῖς ὦ φαντασία; ἀπέρχου σῦ θεός σοι, ὡς ἦλθες, ὃ δὲ χρῄζω σου. ἐλήλυθας ᾖ κατὰ τὸ ἀρχαῖον ἔθος. ὀκ ὀργίζομαί σοι. μόνον ἄπιθι. φοβεῖταί τις μεταβολήν. τί δ' ὅλως ἄνευ μεταβολῆς γένεσις; τί δὲ φίλτερον ἢ οἰκειότερον τῇ τοῦ ὅλου φύσει; Σὺ ᾖ αὐτὸς λύσασθαι δύνασαι, ἐὰν μὴ τὰ ξύλα μεταβάλῃ; πεφυκέναι ᾖ δύναται, ἐὰν μὴ τὰ ἐδώδιμα μεταβάλῃ; ἄλλο ᾖ τι τῶν χρησίμων δύνασθαι γενέσθαι χωρὶς μεταβολῆς; ὀχ ὁρᾶς δῆτα ὅτι καὶ αὐτὸ τὸ σε μεταβαλεῖν ὁμοίου ὄσι, καὶ ὁμοίως ἀναγκαῖον τῇ τοῦ ὅλου φύσει διὰ τῶν τοῦ ὅλου ὑσιῶν, ὡς δι' ὁμαίρης διεκπορεύεσθαι πάντα τὰ σώματα, τῷ ὅλῳ συμφυῆ καὶ συνεργὰ, ὡς τὰ ἡμέτερα μέρη ἀλλήλοις. πόσους ἤδη ὁ αἰὼν Χρυσίππους, πόσους Σωκράτεις, πόσους Ἐπικτήτους κατέπεπωκεν; θ' δ' αὐτὸ καὶ περὶ παντὸς ὑπονόησόν σοι ἀνθρώπου τε καὶ πράγματος προσπίπτοντος. Ἐμὲ οὖν μόνον πειρασᾷ, μήτι αὐτὸς ποιήσῃ, ὃ ἦ κατασκευὴ τοῦ ἀνθρώπου θέλει, ἢ ὡς θέλει, ἢ ὅτι οὐ θέλει. ἐγγὺς μὲν ἡσὶ καὶ τοῦτ' ἀπαντῆν λήψη. ἐγγὺς δὲ

ἢ πᾶν-

ἡ πάντων περὶ σοῦ λήθη. Ἴδιον ἀνθρώπου φιλεῖν καὶ τοὺς πταίοντας. τοῦτο δὲ γίνεται, ἐὰν συμπροσπίπτῃ σοι, ὅτι καὶ συγγενεῖς, καὶ δι' ἄγνοιαν, καὶ ἄκοντες ἁμαρτάνουσι, καὶ ὡς μετ' ὀλίγον ἀμφότεροι τεθνήξετε. καὶ πρὸ πάντων, ὅτι οὐκ ἔβλαψέ σε. οὐ γὰρ τὸ ἡγεμονικόν σου χεῖρον ἐποίησεν, ἢ πρόσθεν ἦν. ἡ τῶν ὅλων φύσις, ἐκ τῆς ὅλης οὐσίας, ὡς κηροῦ, νῦν μὲν ἱππάριον ἔπλασε, συγχέασα δὲ τοῦτο, εἰς δένδρου φύσιν συνεχρήσατο τῇ ὕλῃ αὐτοῦ· εἶτα εἰς ἀνθρωπάριον; εἶτα εἰς ἄλλό τι. ἕκαστον δὲ τούτων πρὸς ὀλίγιστον ὑπέστη. δεινὸν δὲ οὐδὲν τὸ διαλυθῆναι τῷ κιβωτίῳ· ὥσπερ οὐδὲ τὸ συμπαγῆναι· Τὸ ἐπίκοτον τοῦ προσώπου λίαν παρὰ φύσιν, ὅταν πολλάκις ἐναποθνήσκειν ἢ πρόσχημα. ἢ τὸ τελευταῖον ἀπεσβέσθη, ὥστε ὅλως ἐξαφθῆναι μὴ δυνάσθαι. αὐτῷ γε τούτῳ παρακολουθεῖν πειρῶ, ὅτι παρὰ τὸν λόγον. εἰ γὰρ καὶ ἡ συναίσθησις τοῦ ἁμαρτάνειν οἰχήσεται, τίς ἔτι τοῦ ζῆν αἰτία; Πάντα ὅσα ὁρᾷς, ὅσον οὔπω μεταβαλεῖ ἡ τὰ ὅλα διοικοῦσα φύσις, καὶ ἄλλα ἐκ τῆς οὐσίας αὐτῶν ποιήσει. καὶ πάλιν ἄλλα ἐκ τῆς ἐκείνων οὐσίας, ἵνα ἀεὶ νεαρὸς ᾖ ὁ κόσμος. Ὅταν τις ἁμάρτῃ τι εἰς σὲ, εὐθὺς ἐνθυμοῦ τὶ ἀγαθὸν ἢ κακὸν ὑπολαβὼν ἥμαρτε. τοῦτο γὰρ ἰδών, ἐλεήσεις αὐτὸν, καὶ οὔτε θαυμάσεις, οὔτε ὀργιθήσῃ.

ἤτοι

ἤτοι γὰρ καὶ αὐτὸς τὸ αὐτὸ ἐκείνῳ ἀγαθὸν ἐπιλαμβάνεις, ἢ ἄλλο ὁμοειδές. δεῖ οὖν συγγινώσκειν. εἰ δὲ μηκέτι συλλαμβάνεις τὰ τοιαῦτα ἀγαθὰ καὶ κακά, ῥᾷον εὐμενὴς ἔσῃ τῷ παρῳδοῦντι. Μὴ τὰ ἀπόντα οἴνοεῖν ὡς ἤδη ὄντα· ἀλλὰ τῶν παρόντων τὰ δεξιώτατα ἐκλογίζεσθαι, καὶ τούτων χαρὶν συνομνημονεύειν, πῶς ἂν ἐπιζητεῖτο, εἰ μὴ παρῆν· ἅμα μέν τοι φυλάσσειν, μὴ διά τὸ ὅτως ἀσμενίζειν αὐτοῖς, ἐνδιαίτους ἐκτιμᾶν αὐτά, ὥστε εἰ ἀπολέσαιτο μὴ πάνυ ταραχθήσεσθαι. εἰς ἑνὶ σωφλεῖ. Φύσιν ἔχει τὸ λογικὸν ἡγεμονικόν, ἐαυτῷ ἀρκεῖσθαι δικαιοπραγοῦντι, καὶ τὴν αὐτὸ ἐξ ἴσου γαλήνην ἔχοντι. Ἀξιωτέον τὴν φαντασίαν. σπεῦσον τὴν νευροσπασίαν. προσίεσθαι τὸ μέσως τοῦ χρόνου, γνώσεσθαι τὸ συμβαῖνον, ἢ σοί, ἢ ἄλλῳ, δίελε καὶ μέρισον δ' ἑαυτῷ μόνον, εἰς τὸ αἰτιῶδες καὶ ὑλικόν. ἀνάκλασον τὴν ἐσχάτην ὥραν. Τὸ ἐκείνῳ ἁμαρτηθὲν, ἐκεῖ κατάλιπε, ὅπου ἡ ἁμαρτία ὑπέστη. συμπρεκτείνου τὴν νόησιν τοῖς λεγομένοις. εἰσδύεσθαι τὸν νοῦν εἰς τὰ γινόμενα καὶ ποιοῦντα. φαίδρυνον σεαυτὸν ἀπλότητι καὶ αἰδοῖ, καὶ τῇ πρὸς δ' αὖ μέσον ἀρετῇ καὶ κακίας ἀδιαφορίᾳ. φίλησον δ' ἀνθρώπινον γένος· ἀκολούθησον θεῷ. ἐκεῖνο μέν φησιν, ὅτι πάντα νομίσῃ. ἐπὶ εἰ δαίμονα τὰ στοιχεῖα. ἀρκεῖ ὑμεμνῆσθαι, ὅτι τὰ πάντα νομισὶ ἔχει, ἢ

ἁπλόαν

ἡλίαν ὀλίγα. Περὶ θανάτου, εἰ σκέδασμός, ἢ ἄθροισις, ἢ κένωσις, ἢ τοιαῦτα σβέσις, ἢ μετάστασις. Περὶ φωνῆς δ' ἐμοῦ ἀφόρητον, ἵνα λάβῃς. καὶ ἐὰν χρονίζῃ, φερέτω. Ὁ ἡ διάνοια τῆς ἔξω μου γαλήνης καὶ ἀπολαύειν δύνατηρεῖ, ὁ δὲ χείρου δ' ἡγεμονικὸν γένοιτο. Τὰ ἐμὰ καὶ ὅμοια μέρη ἕως τοῦ πόνου, εἰλικρινῆ ποιεῖ αὐτὸ ἀφροντιάθω Περὶ δόξης ἴδε τὰς διανοίας αὐτῶν, οἵαι. Ὁ οἷα μὴ φύγοιμι. οἷα ἐμποιοῦσι. ἢ ὅπως αἱ θῖνες ἄλλαι ἐπ' ἄλλαις ἐπιφορήμεναι κρύπτουσι τὰ πρότερα· οὕτως ἐν τῷ βίῳ, τὰ πρότερα ὑπὸ τῶν ἐπιγενομένων τάχιστα ἐκαλύφθη. Πλατωνικόν. Ὧν ἔν ὑπάρχει διάνοια μεγαλοπρεπὴς, ὁ θεωρία παντὸς μὲν χρόνου, πάσης δὲ οὐσίας, ἆρα δοκεῖ τούτῳ μέγα τι δοκεῖν εἶναι ἄν ἀνθρώπινον βίον; ἀδύνατον, ἦ δ' ὅς. οὐκοῦν Ὁ θάνατον οὐ δεινόν τι ἡγήσεται ὁ τοιοῦτος; οὐκ ἔστιν. Ἀντισθενικόν. Βασιλικὸν μὲν πρᾶξαι, καὶ κακῶς δὲ ἀκούειν. αἰσχρὸν ὄντι δὲ μὲν προσώπου ὑπόκρισιν εἶναι καὶ σχηματίζεσθαι, ὁ καλακόμενον ὡς κελεύῃ ἡ διάνοια, αὐτὸν δ' ὑφ' ἑαυτῆς μὴ σχηματίζεσθαι καὶ καλακόμενον,

Τοῖς πράγμασι μὴ ὀχλοῦ θυμοῦ χρεών·
Μέλει γὰρ αὐτοῖς ὧδε.
Ἀθανάτοις τε θεοῖς, Ὁ ἡμῖν χάρματα δοῦναι·
Βίον θορίζειν ὥστε κάρπιμον τυχεῖν.
Καὶ δὴ μὲν εἶναι, τὸ δὲ μή.

Εἰ δ'

Εἰ δ' ἠμελήθην ἐκ θεῶν καὶ παῖδ' ἐμώ.
Ἔχει λόγον καὶ τοῦτο.

Τὸ γὰρ εὖ μετ' ἐμοῦ καὶ τὸ δίκαιον. μὴ συνεπιθρηνεῖν. μὴ σφύζειν.

ΠΛΑΤΩΝΙΚΑ'.

Εἰ ὦ δὲ τούτῳ δέκαιον ἂν λόγον ἀντείποιμι. ὅτι οὐ καλῶς λέγεις ὦ ἄνθρωπε, εἰ οἴει δεῖν κίνδυνον ὑπολογίζεσθαι τοῦ ζῆν, ἢ τεθνάναι ἄνδρα, ὅτου τι καὶ σμικρὸν ὄφελος. ἀλλ' οὐκ ἐκεῖνο μόνον σκοπεῖν ὅταν πράττῃ, πότερον δίκαια ἢ ἄδικα πράττει, καὶ ἀνδρὸς ἀγαθοῦ ἔργα ἢ κακοῦ. Οὕτω δὲ ἔχει ὦ ἄνδρες Ἀθηναῖοι τῇ ἀληθείᾳ, οὗ ἄν τις αὐτὸν τάξῃ ἡγησάμενος βέλτιστον εἶναι, ἢ ὑπ' ἄρχοντος ταχθῇ, ἐν ταῦθα δεῖ ὡς ἐμοὶ δοκεῖ μένοντα κινδυνεύειν, μηδὲν ὑπολογιζόμενον, μήτε θάνατον, μήτε ἄλλο μηδὲν πρὸ τοῦ αἰσχροῦ. Ἀλλ' ὦ μακαίριε, ὅρα μὴ ἄλλο τι τὸ γενναῖον, καὶ τὸ ἀγαθὸν, ἢ τὸ σώζειν τε καὶ σώζεσθαι. μὴ γὰρ τοῦτο μὲν τὸ ζῆν ὁπόσον δὴ χρόνον τὸν γε ὡς ἀληθῶς ἄνδρα ἐατέον ἐστί. Ὁ οὐ φιλοψυχητέον, ἀλλ' ὑπερτέψαντα περὶ τούτων τῷ θεῷ, καὶ πιστεύσαντα ταῖς γυναιξὶν, ὅτι τὴν εἱμαρμένην οὐδεὶς ἂν ἐκφύγοι. Τὸ ὑπὲρ τούτῳ σκεπτέον, τίνα ἂν τρόπον τοῦτον ὃν μέλλει χρόνον βιῶναι ὡς ἄριστα βιώῃ. Περὶ σκοπεῖν ἄστρων δρόμους, ὥσπερ συμπεριθέοντα·

καὶ

ϛ τὰς τῶν στοιχείων εἰς ἄλληλα μεταβολὰς συνεχῶς ἐννοεῖν. ἀχρηκαθαίρουσι δὲ αἱ τοῦ τῶν φαντασίαι τὸν ῥύπον τοῦ χαμαὶ βίου. Καλὸν δὲ τοῦ Πλάτωνος· καὶ δὴ περὶ ἀνθρώπων τοὺς λόγους ποιούμενον, ὑψιστοπεῖν δεῖ καὶ τὰ ἐπίγεια, ὥσπερ ποθεν ἄνωθεν κατὰ ἀγέλας, στρατεύματα, γεώργια, γάμους, διαλύσεις, γενέσεις, θανάτους, δικαστηρίων θόρυβον, ἐρήμους χώρας βαρβαίρων ἔθνη ποικίλα, ἑορτὰς, θρήνους, ἀγορὰς, τὰ παμμιγὲς ϛ δὲ ἐκ τῶν ἐναντίων συγκεσμούμενον. τὰ προγεγονότα ἀναθεωρεῖν· τὰς τοσαύτας τῶν ἡγεμονιῶν μεταβολὰς. ἔξεστι καὶ τὰ ἐνόμενα προεφορᾷν. ὁμοειδῆ γὰρ πάντως ἔσται, καὶ οὐχ οἷόν τε ἐκβῆναι τῶν ῥυθμοῦ τῶν νῦν γινομένων. ὅθεν ϛ ἴσον, τὰ τεσσαράκοντα ἔτεσιν ἱστορῆσαι τὰν ἀνθρώπινον βίον, τῷ δὲ ἔτη μύρια. τί δὲ πλέον ὄψει; καὶ τὰ ἐκ γῆς μὲν φύντα, εἰς γαῖαν· τὰ δ' ἀπ' αἰθερίου βλαστόντα γένη, εἰς αἰθέριον πάλιν ἦλθε πόλον. ἢ τοῦτο διαλυσις τῶν ἐν ταῖς ἀτόμοις ἀντεμπλοκῶν, καὶ τοιοῦτός τις σκορπισμὸς τῶν ἀπαθῶν στοιχείων.

Καὶ σίτοισι καὶ πότοις, δὲ μαγγανεύμασι
Παρεκτρέποντες ὀχετὸν, ὥστε μὴ θανεῖν.
Θεόθεν δὲ πνέοντ' οὖρον
Ἀνάγκη τλῆναι καμάτοις ἀνοδύρτοις.

Οὐκ ἔστιν ἀρχὴ τοῦτο, ἀλλ' τῶν ἀνωτέρω τῶν πρὸ

τῶν

τ̃ πλατωνικῶν συναφὲς. καθαλιώτερος, ἀλλ' οὐχὶ κοινωνικώτερος, οὐδὲ αἰδημονέστερος. οὐδ' οὕτω κατόπτρος ὢν τοῖς συμβαίνουσιν, οὐ δ' ὑμνέστερος πρὸς τὰ τ̃ ὠφελησίου πρόσωπα. ὅπου δρ̃γον ἐπιτελεῖ ὁ λόγος ἀλλ' ἢ κ̃ τ̃ κοινὸν θεοῖς ἢ ἀνθρώποις λόγον ἐκεῖ οὐδὲν ὄφελος· ὅπου δ' ὠφελείας τυχεῖν ἔξεστι, διὰ τ̃ οὐσίαν, ἢ κ̃ τ̃ καταστολῆς πρὸ οὐσίας ἀνεργείας, ἐκεῖ οὐδεμίαν βλάβην ὑφορατέον. παντάχοῦ ἢ δύνεκ̃ς ἔστι σοί ὅση ⊙ τῇ πρόσῃ συμβάσει θεοσεβῶς βιάζεσθαι, ἢ τοῖς πρόσιν ἀνθρώποις κ̃ δικαιοσυνίῳ προσφέρεσθαι ⊙ τῇ ὄσῃ φαντασίᾳ ἐμφιλοτεχνεῖν, ἵνα μήτι ἀκατάληπτον πρόφορμ̃. Μὴ παρυβλέπου ἀλλότρια ἡγεμονικά· ἀλλ' ἐκεῖ βλέπε κατ' οὐδὲν, ἔστι πρὸς ἢ φύσις ὁδηγεῖ, ἥτε τ̃ ὅλου διὰ τ̃ συμβαινόντων ἕκαστον, καὶ ἡ οἰκεία τ̃ πρακτέων ἕκαστον. πρακτέον δὲ ἐκάστῳ ἐξῆς τῇ καταστολῇ. καταστολὴν δὲ τὰ λοιπὰ, τ̃ λογικῶν ἕνεκεν, ὥσπερ ἢ ἔστι παντὸς ἄλλου, τὰ χείρω τ̃ κρειττόνων ἕνεκεν, τὰ δὲ λογικὰ ἀλλήλων ἕνεκεν. Τὸ μὲν οὖν προηγούμενον ἐν τῇ τ̃ ἀνθρώπου καταστολῇ τὸ κοινωνικὸν ἔστι. δεύτερον δὲ τὸ αὐτάρκειν πρὸς τὰς σωματικὰς πείσεις. λογικῆς δ' ἢ νοερᾶς κινήσεως ἴδιον πολιοείζειν ἑαυτῷ, καὶ μήποτε ἠπᾶσθαι μήτε αἰσθητικῆς μήτε ὁρμητικῆς κινήσεως· χωρίζειν δ' ἐκάστου. ἡ δὲ νοερὰ ἐλθεῖν προσπιπτούσῃ, καὶ μὴ

κατακρατεῖσθαι ὑπ' ἐκείνων δικαίως γε. πέφυκε γὰρ χρηστικὴ πᾶσιν ἐκείνοις. τείχει δὲ τῇ λογικῇ κατασκευῇ τὸ ἀπρόσπτωτον μὴ ἀνεξαπάτητον. τούτην οὖν ἐχόμενον δ' ἡγεμονικὸν οὐδὲν προαιρέτω, καὶ ἔχει τὰ ἑαυτοῦ. ὡς ἀρτεθηκότα δεῖ καὶ μέχρι νῦν βεβιωκότα δ' λοιπὸν ἐν τῷ παρόντι ζῆσαι κατὰ φύσιν, μόνον φιλεῖν τὸ ἑαυτῷ συμβαῖνον καὶ συγκλωθόμενον. τί γὰρ ἁρμοδιώτερον; ἕκαστα συμβάματος ἐκείνους πρὸ ὀμμάτων ἔχειν, οἷς τὰ αὐτὰ συνέβαινεν. ἔπειτα ἤχθοντο, ἐξανίζοντο, ἐμέμφοντο. νῦν δὲν ἐκεῖνοι παρά; οὐδαμοῦ. Τί δὲν σὺ θέλεις ὁμοίως; οὐχὶ δὲ τὰς μὲν ἀλλοτρίας προπὰς καταλιπεῖν τοῖς τρέπουσι καὶ τρεπομένοις; αὐτὸς δὲ περὶ τὸ πῶς χρὴ ἄξ αὐτοῖς ὅλος γίνεσθαι. χρήσῃ γὰρ καλῶς, καὶ ὕλης σου ἔσται, μόνον πρόσεχε καὶ θέλε σεαυτῷ καλὸς εἶναι, ὃ δὲ πάντες ὃς πράσσεις, καὶ μέμνησο ἀμφοτέρων, ὅτι καὶ διάφορον ἐφ' ὃ ἡ πρᾶξις· Ἔνδον βλέπε, ἔνδον ἡ πηγὴ τοῦ ἀγαθοῦ, καὶ ἀεὶ ἀναβλύειν δυναμένη, ἐὰν ἀεὶ σκάπτῃς· Δεῖ καὶ δ' σῶμα πεπηλεῦσαι, καὶ μὴ διεῤῥίφθαι, μήτε σὺ κινήσει, μήτε σὺ χέσει. οἷον γάρ τι ὠδὶ τοῦ προσώπου πρέπει ἡ διάνοια, σωφρονοῦσα, τοιοῦτο καὶ ὠδὶ ὅλου τοῦ σώματος ἀπαιτητέον, πάντα δὲ ταῦτα σὺν τῷ

ἀφεπι

ἀνεπιτηδεύτῳ φυλακτέα. Ἡ βιωτικὴ τῇ παλαιστικῇ ὁμοιοτέρα ἤπερ τῇ ὀρχηστικῇ. κτ̄ τὰ πρὸς τὰ ἐμπίπτοντα καὶ οὐ προεγνωσμένα, ἕτοιμος καὶ ἁπτῶς ἑστάναι. Συνεχῶς ἐφιστάναι, τίνες εἰσὶν οὗτοι ὑφ' ὧν μαρτυρεῖσθαι θέλεις, καὶ τίνα ἡγεμονικὰ ἔχουσιν. οὔτε γὰρ μέμψῃ τοῖς ἀκουσίως πταίουσιν, οὔτε ὠθιμαρτυρήσεως δεήσῃ, εἰ βλέπων εἰς τὰς πηγὰς τῆς ὑπολήψεως καὶ ὁρμῆς αὐτῆν. Πᾶσα ψυχὴ ἄκουσά (φησιν) στέρεται ἀληθείας. οὕτως οὖν καὶ δικαιοσύνης καὶ σωφροσύνης, καὶ εὐμενείας, καὶ παντὸς τοῦ τοιούτου. ἀναγκαιότατον δὲ τὰ διηνεκῶς τούτου μεμνῆσθαι· ἔσῃ γὰρ πρὸς πάντας πρᾳότερος. ὠθὶ μὲν παντὸς πόνου, πρόχειρον ἔστω ὅτι οὐκ αἰσχρὸν, οὐδὲ τὴν διάνοιαν τῆν κυβερνῶσαν χείρω ποιεῖ. οὔτε γὰρ καθὸ ὑλικὴ ἐστιν, οὔτε καθὸ κοινωνικὴ διαφθείρει αὐτὴν. ὠθὶ μέντοι τῆν πλείστων πόνων, καὶ τὸ τοῦ Ἐπικούρου σοι βοηθείτω, ὅτι οὔτε ἀφόρητον οὔτε αἰώνιον, ἐὰν τῆν ὅρων μνημονεύῃς, καὶ μὴ προσδοξάζῃς. κἀκείνου δὲ μέμνησο ὅτι πολλὰ πόνῳ τὰ αὐτὰ ὄντα, λανθάνει δυσχεραινόμενα. οἷον τὰ νυστάζειν, καὶ τὸ καυματίζεσθαι, καὶ τὸ ἀνορεκτεῖν. ὅταν οὖν τινι τούτην δυσαρεστῇς, λέγε ἑαυτῷ, ὅτι πόνῳ ἐνδίδως. Ὅρα μήποτε τοιοῦτον πάθης πρὸς τοὺς ἀπανθρώπους, οἷον οἱ ἄνθρω-

ποι πρὸς τοὺς ἀνθρώπους. Πόθεν ἴσμεν εἰ τηλαύ-
γης Σωκράτης, καὶ διαθέσιν κρείσσων ἦν. οὐ
γὰρ ἀρκεῖ εἰ Σωκράτης εὐδοξότερον ἀπέθανεν,
καὶ ἐντρεχέστερον τοῖς σοφισταῖς διελέγετο, καὶ
καρτερικώτερον ἐν τῷ πάγῳ διενυκτέρευεν, καὶ
τὸν Σαλαμίνιον κελευσθεὶς ἄγειν, γεναιώτε-
ρον ἔδοξεν ἀντιβῆναι, καὶ ἐν τοῖς ὁδοῖς ἐβρενθυε-
το· περὶ οὗ καὶ μάλιστ' ἄν τις ἐπιστήσειεν εἴ πορ
ἀληθὲς ἦν. ἀλλ' ἐκεῖνο δεῖ σκοπεῖν, ποίαν τινὰ
τὴν ψυχὴν εἶχε Σωκράτης. καὶ εἰ ἐδύνατο ἀρ-
κεῖσθαι τῷ δίκαιος εἶναι τὰ πρὸς ἀνθρώπους, καὶ ὅ-
σιος τὰ πρὸς θεούς, μήτε εἰκῇ πρὸς τὴν κακίαν
ἀγανακτῶν, μηδὲ μὴν δουλεύων τινὸς ἀγνοίᾳ, μή-
τε τῶν ἀπρονεμομένων ἐκ τοῦ ὅλου ὡς ξένον τι δε-
χόμενος, ἢ ὡς ἀφόρητον ὑπομένων, μήτε τοῖς τοῦ
σαρκιδίου πάθεσιν ἐμπαρέχων συμπαθῆ τὸν
νοῦν. Ἡ φύσις οὐχ οὕτως συνεκέρασε τοῦ συγ-
κρίματι, ὡς μὴ ἐφεῖσθαι περιορίζειν ἑαυτόν, καὶ
τὰ ἑαυτοῦ ὑφ' ἑαυτῷ ποιεῖσθαι. λίαν γὰρ ἐνδέ-
χεται θεῖον ἄνδρα γενέσθαι, καὶ ὑπὸ μηδενὸς
γνωρισθῆναι. τούτου μέμνησο ἀεὶ, καὶ ἔτι ἐκεί-
νου, ὅτι ἐν ὀλιγίστοις κεῖται τὸ εὐδαιμόνως βιῶ-
σαι. καὶ μὴ ὅτι ἀπήλπισας διαλεκτικὸς καὶ φυ-
σικὸς ἔσεσθαι, διὰ τοῦτο ἀπρονῶς καὶ ἐλεύθερος, καὶ
αἰδήμων, καὶ κοινωνικὸς, καὶ εὐπειθὴς θεῷ. Ἀ-
βιάστως διαζῆσαι ἐν πλείστῃ θυμηδίᾳ, κἂν πάν-

τες

τοῦ καταβιῶσιν ἅτινα βούλονται, κἂν τὰ θη-
ρία διασπᾷ τὰ μελύδρια τοῦ περιτεθραμμένου
τούτου φυραίματος. τί δὲ κωλύει ἐν πᾶσι τούτοις
τὴν διάνοιαν σώζειν ἑαυτὴν ἐν γαλήνῃ, καὶ κρίσει
τῇ περὶ τῶν περιεστηκότων ἀληθεῖ, καὶ χρήσει
τῶν ὑποβεβλημένων ἑτοίμῃ; ὥστε τὴν μὲν κρί-
σιν λέγειν τῷ προσπίπτοντι, οὗτο ὑπάρχεις
κατ' οὐσίαν, κἂν κατὰ δόξαν ἀλλοῖον φανῇ. τὴν
δὲ χρήσιν λέγειν τῷ ὑποπίπτοντι, σε ἐζήτουν. ἀεὶ
γάρ μοι τὸ πρὸν, ὕλη ἀρετῆς λογικῆς καὶ πολιτι-
κῆς. καὶ τὸ σύνολον τέχνης ἀνθρώπου ἢ θεοῦ. πᾶν
γὰρ τὸ συμβαῖνον, θεῷ ἢ ἀνθρώπῳ ἐξοικειοῦται, καὶ
οὔτε καινὸν, οὔτε δυσμεταχείριστον, ἀλλὰ γνώ-
ριμον καὶ εὐεργές. Τοῦτο ἔχει ἡ τελειότης τοῦ
ἤθους, τὸ πᾶσαν ἡμέραν ὡς τελευταίαν διεξά-
γειν, καὶ μήτε σφύζειν, μήτε ναρκᾶν, μήτε ὑπο-
κρίνεσθαι. Οἱ θεοὶ ἀθάνατοι ὄντες, οὐ δυσχε-
ραίνουσιν, ὅτι ἐν τοσούτῳ αἰῶνι δεήσει αὐτοὺς
πάντως ἀεὶ τοιούτων ὄντων καὶ τοσούτων φαύ-
λων ἀνέχεσθαι. προσέτι δὲ καὶ κήδονται αὐ-
τῶν παντοίως. σὺ δὲ ὅσον οὐδέπω λήγειν μέλ-
λοντας ἀπαυδᾷς, καὶ ταῦτα εἷς ὢν τῶν φαύ-
λων. Γελοῖόν ἐστι τὴν μὲν ἰδίαν κακίαν μὴ φεύ-
γειν, ὃ καὶ δυνατόν ἐστι· τὴν δὲ τῶν ἄλλων
φεύγειν, ὅπερ ἀδύνατον. Ὃ ἂν ἡ λογικὴ καὶ
πολιτικὴ δύναμις εὑρίσκῃ μήτε νεορόν, μή τε

κοινονικὸν, εὐλόγως κατὰ δεέστερον ἑαυτῆς κρίνει. Ὅταν σὺ εὖ πεποιηκὼς ἦς, καὶ ἄλλος εὖ πεπονθὼς, τί ἔτι ζητεῖς τρίτον πρὰ ταῦτα ὥσπερ οἱ μωροί τὸ καὶ δόξαι εὖ πεποιηκέναι, ἢ τὸ ἀμοιβῆς τυχεῖν. Οὐδεὶς κάμνει ὠφελούμενος, ὠφέλεια δὲ πρᾶξις κατὰ φύσιν. μὴ οὖν κάμνε ὠφελούμενος, ἐν ᾧ ὠφελεῖς. Ἡ τοῦ ὅλου φύσις ὑπὲρ τὴν κοσμοποιΐαν ὥρμησεν. νῦν δὲ ἤτοι πᾶν τὸ γινόμενον κατ' ἐπακολούθησιν γίνεται, ἢ ἀλόγιστα καὶ τὰ κυριώτατά ἐστιν, ἐφ' ἃ ποιεῖται ἰδίαν ὁρμὴν τὸ τοῦ κόσμου ἡγεμονικόν. εἰς πολλὰ σε γαληνότερος ποιήσει, οὕτω μνημονευόμενον.

ΜΑΡΚΟΥ ΑΝΤΩΝΙΝΟΥ αὐτοκράτορος, τῶν εἰς ἑαυτὸν· Βιβλίον η.



ΚΑΙ οὕτω πρὸς τὸ ἀκενόδοξον φέρει, ὅτι οὐκ ἔτι δύναται τὸν βίον ὅλον, ἢ τόν γε ἀπὸ νεότητος φιλόσοφον βεβιωκέναι· ἀλλὰ πολλοῖς τε ἄλλοις, καὶ αὐτός σε αὐτῷ δῆλος γέγονας, πόῤῥω φιλοσοφίας ὤν. πέφυρται οὖν, ὥστε τὴν μὲν δόξαν τὴν τοῦ φιλοσόφου

λοσόφου κτήσασθαι, οὐκέτι σοι ῥᾴδιον. ἀνταχο-
νίζεται δὲ καὶ ἡ ὑπόθεσις. εἴπερ οὖν ἀληθῶς
ἑώρακας ποῦ κεῖται τὰ πράγμα, τὰ μὲν τί
δόξεις, ἄφες· ἀρκέσθητι δὲ, εἰ κἂν τὰ λοιπὸν τοῦ
βίου ὅσον δήποτε ἡ σὴ φύσις θέλει βιώσειν. κα-
τανόησον οὖν τί θέλει, καὶ ἄλλο μηδὲν περιπά-
τω. πεπείρασαι γὰρ περὶ πόσα πλανηθεὶς,
οὐδαμοῦ εὗρες τὸ εὖ ζῆν. οὐκ ἐν συλλογισμοῖς,
οὐκ ἐν πλούτῳ, οὐκ ἐν δόξῃ, οὐκ ἐν ἀπολαύσει,
οὐδαμοῦ· ποῦ οὖν ἐστιν; ἐν τῷ ποιεῖν, ἃ ὑπιζη-
τεῖ ἡ τοῦ ἀνθρώπου φύσις. πῶς οὖν ταῦτα ποιή-
σει; ἐπὰν δόγματα ἔχῃ ἀφ' ὧν αἱ ὁρμαὶ καὶ αἱ
πράξεις. τίνα δόγματα; τὰ περὶ ἀγαθῶν καὶ
κακῶν. ὡς οὐδενὸς μὲν ἀγαθοῦ ὄντος ἀνθρώ-
πῳ, ὃ οὐχὶ ποιεῖ δίκαιον, σώφρονα, ἀνδρεῖον,
ἐλεύθερον, οὐδενὸς δὲ κακοῦ ὃ οὐχὶ ποιεῖ τἀναν-
τία τοῖς εἰρημένοις. Καθ' ἑκάστην πρᾶξιν ἐ-
ρώτα σεαυτὸν, πῶς μοι αὕτη ἔχει, μὴ μετα-
νοήσω ἐπ' αὐτῇ, μικρὸν καὶ τέθνηκα, καὶ
πάντ' ἐκ μέσου. τί πλεὸν ὑπιζητῶ, εἰ τὰ
πρὸν ἔργον ζώου νοεροῦ καὶ κοινωνικοῦ καὶ ἰσο-
νόμου θεῷ. Ἀλέξανδρος δὲ καὶ Γάϊος, καὶ
Πομπήϊος τί πρὸς Διογένη, καὶ Ἡράκλειτον,
καὶ Σωκράτην; οἱ μὲν γὰρ εἶδον τὰ πράγματα,
καὶ τὰς αἰτίας, καὶ τὰς ὕλας, καὶ τὰ ἡγεμονι-
κὰ ἦν αὐτῶν ταὐτά. ἐκεῖ δὲ ὅσων πρόνοια, καὶ

δουλεία πόσων, ὅτι οὐδὲν ἧττον τὰ αὐτὰ ποιήσουσι, κἂν σὺ διαῤῥαγῆς. Τὸ πρῶτον μὴ ταράσσου. πάντα γὰρ κατὰ τὴν τοῦ ὅλου φύσιν, καὶ ὀλίγου χρόνου, οὐδεὶς οὐδαμοῦ ἔσῃ, ὥσπερ οὐδὲ Ἀδριανός, οὐδὲ Αὔγουστος. ἔπειτα ἀτενίσας ἐς τὸ πρᾶγμα, ἴδε αὐτὸ, καὶ συμνημονεύσας, ὅτι ἀγαθὸν σε ἄνθρωπον εἶναι δεῖ, ὃ τί τοῦ ἀνθρώπου ἡ φύσις ἀπαιτεῖ, πρᾶξον τοῦτο ἀμετατρεπτί, καὶ εἰπὲ ὡς δικαιότατον φαίνεταί σοι, μόνον εὐμενῶς, καὶ αἰδημόνως, καὶ ἀνυποκρίτως. Ἡ τῶν ὅλων φύσις τοῦτο ἔργον ἔχει, τὰ ὧδε ὄντα ἐκεῖ μετατιθέναι, μεταβάλλειν, αἴρειν ἔνθεν καὶ ἐκεῖ φέρειν. πάντα τροπαί, οὐχ ὥστε φοβηθῆναι, μήτι καινόν. πάντα συνήθη. ἀλλὰ καὶ ἴσαι αἱ ἀπομεμήσεις. Ἀρκεῖται πᾶσα φύσις ἑαυτῇ εὐοδούσῃ φύσις δὲ λογικὴ εὐοδεῖ, ἐν μὲν φαντασίαις μήτε ψευδεῖ μήτε ἀδήλῳ συγκατατιθεμένη. τὰς ὁρμὰς δὲ ἐπὶ τὰ κοινωνικὰ ἔργα μόνα ἀπευθύνουσα, τὰς ὀρέξεις δὲ καὶ τὰς ἐκκλίσεις τῶν ἐφ' ἡμῖν μόνον πεποιημένη. τὸ δὲ ὑπὸ τῆς κοινῆς φύσεως ἀπονεμόμενον, πᾶν ἀσπαζομένη. μέρος γὰρ αὐτῆς ἐστιν. ὡς ἡ τοῦ φύλλου φύσις τῆς τοῦ φυτοῦ φύσεως. πλὴν ὅτι ἐκεῖ μὲν ἡ τοῦ φύλλου φύσις, μέρος ἐστὶ φύσεως καὶ ἀναισθήτου, καὶ ἀλόγου, καὶ ἐμποδίζεσθαι δυναμένης· ἡ δὲ τοῦ ἀνθρώπου φύσις, μέρος ἐστὶ ἀνεμποδίστου φύ-

σεως

σεως καὶ νοερᾶς καὶ δικαίας· εἴ γε ἴσους καὶ κατ' ἀξίαν τοῦ μερισμοὺς χρόνων, οὐσίας, αἰτίου, ἐνεργείας, συμβαίσεως, ἑκάστοις ποιεῖται. σκοπεῖ δὲ, μὴ εἰ τὸ πρὸς τὸ ἓν ἴσον εὑρήσεις ἐπὶ παντὸς. ἀλλὰ εἰ συλλήβδην τὰ πάντα. τοῦ δὲ πρὸς ἀθρόα τὰ τοῦ ἑτέρου ἀναγινώσκειν οὐκ ἔξεστιν· ἀλλὰ ὕβριν ἀνείργειν ἔξεστιν, ἀλλὰ ἡδονῶν καὶ πόνων καθυπερτερεῖν ἔξεστιν· ἀλλὰ τοῦ δοξαρίου ὑπεράνω εἶναι ἔξεστιν· ἀλλὰ ἀναισθήτοις καὶ ἀχαρίστοις μὴ θυμοῦσθαι, προσέτι κήδεσθαι αὐτῶν ἔξεστιν. μηκέτι σου μηδεὶς ἀκούσῃ καταμεμφομένου τὸν ἐν αὐλῇ βίον. μηδὲ τὸν σεαυτοῦ. Ἡ μετάνοια ἐστὶν ἐπίληψίς τις ἑαυτοῦ, ὡς χρήσιμόν τι πρᾳκότος. τὸ δὲ ἀγαθὸν χρήσιμόν τι δεῖ εἶναι, καὶ ὠθιμελητέον αὐτοῦ τῷ ἀγαθῷ καὶ καλῷ ἀνδρί. οὐδεὶς δ' ἂν καλὸς καὶ ἀγαθὸς ἀνὴρ μετανοήσειεν, ὠθὶ τῷ ἡδονήν τινα πρᾳκέναι. οὔτε ἄρα χρήσιμον, οὔτε ἀγαθὸν ἡδονή. οὗτο τί ἐστὶν αὐτὸ καθ' ἑαυτὸ τῇ ἰδίᾳ κατασκευῇ, τί μὲν τὸ οὐσιῶδες αὐτοῦ καὶ ὑλικὸν· τί δὲ τὸ αἰτιῶδες, τί δὲ ποιεῖ ἐν τῷ κόσμῳ· πόσον δὲ χρόνον ὑφίσταται. Ὅταν ἐξ ὕπνου δυσχερῶς ἐγείρῃ, ἀναμιμνήσκου, ὅτι κατὰ τὴν κατασκευὴν σου ἐστὶ, καὶ κατὰ τὴν ἀνθρωπικὴν φύσιν, τὰ πράξεις κοινωνικὰς ἀπαρδιδόναι. τὸ δὲ καθεύδειν, κοινὸν καὶ τῶν ἀλόγων ζώων. ὃ δὲ κατὰ φύσιν ἑκάστῳ, οὗτο

οἰκειότερον καὶ προσφυέστερον, καὶ δὴ καὶ προσηνέστερον· διηνεκῶς καὶ ἐν παύσῃ εἰ οἷόν τε φαντασίας. φυσιολογεῖν, παθολογεῖν, διαλεκτικεύεσθαι ὧν ἂν ἐντυγχάνῃς θύθις σαυτῷ πρόλεγε. ὅτου, πίνα δόγματα ἔχει περὶ ἀγαθῶν καὶ κακῶν; ἢ τί περὶ ἡδονῆς καὶ πόνου καὶ τῶν τοκτικῶν ἑκατέρου, καὶ περὶ δόξης, ἀδοξίας, θανάτου, ζωῆς. διαθέ τινα δόγματα ἔχειν ὐδὲν θαυμαστὸν ἢ ξένον μοι δόξῃ, ἐὰν τὰ ὑπὸ τινα τοιῆ. μεμνήσομαι, ὅτι ἀναγκάζει ὅτως ποιεῖν. μέμνησο ὅτι ὥσπερ αἰσχρὸν ξενίζεσθαι, εἰ ἡ συκῆ σῦκα φέρει, ὅτως εἰ ὁ κόσμος τὰ δέ τινα φέρει, ὧν ὄφελος φορός. ἰατρῷ ὑ καὶ κυβερνήτῃ, αἰσχρὸν ξενίζεσθαι εἰ πεπύρεχεν ὅτου, ἢ εἰ αὐτὸ πνοια γέγονεν. μέμνησο ὅτι μεταπίπτειν ἔστιν ὀλίγα τοῦ διαλυθοῦντι, ὁμοίως ἐλεύθερόν ὄφελος. σὺ γὰρ ἐνέργεια κατὰ τὴν ἰδίαν ὁρμὴν μετὰ νοῦν καὶ τοῦτον δὲ σὸν παραινοῦντα· εἰ μὲν ὠφέλιμα σοί, τί αὐτὸ ποιεῖς, εἰ δὲ ἐπ' ἄλλῳ, τίνι μέμφῃ; τοῖς ἀτόμοις, ἢ τοῖς θεοῖς, ἀμφότερα μανιώδη· ὐδενὶ μεμπτέον. εἰ μὲν γὰρ δύναμαι, διόρθωσον τόδε πρᾶγμα αὐτό· εἰ δὲ μὴ δύνασαι, πρὸς τί ἔτι σοι φέρει τὸ μέμφεσθαι; εἰκῇ γὰρ ὐδὲν ποιητέον. ἔξω τοῦ κόσμου δ' ἀφθανὸν οὐ πίπτει. εἰ ὧδε μένει μεταβάλλει, ὧδε διαλύεται εἰς τὰ ἴδια, ἃ στοιχεῖά ὄφελος τοῦ κόσμου ἡμᾶ.

καὶ

καὶ αὐτὰ δὲ μεταβάλλει, καὶ οὐ γογγύζει. ἕκαστον πρός τι γέγονεν, ἵππος, ἄμπελος, τί θαυμάζεις; καὶ ὁ ἥλιος ἐρεῖ πρὸς τὸ ὄργανον γέγονα, καὶ οἱ λοιποὶ θεοί. σὺ δὲ πρὸς τί; τὸ ἥδεσθαι; ἴδε εἰ ἀνέχεται ἡ διάνοια. ἡ φύσις ἐσόχασεν ἑκάστου. οὐδὲν ἧττον ἔλασσον τοῦ ἀπολήξεως, ἢ τοῦ ἀρχῆς τε καὶ διεξαγωγῆς. ὡς ὁ ἀναβάλλων τὴν σφαῖραν. τί οὖν ἀγαθὸν ἔχει σφαιρίῳ ἀναφερομένῳ, ἢ κακὸν καταφερομένῳ, ἢ καὶ πεπωκότι; τί δὲ ἀγαθὸν τῇ τομφόλυγι ζωγραφουμένῃ, ἢ κακὸν διαλυθείσῃ; τὰ ὅμοια ὄνου καὶ λύχνου. ἔκχεον, καὶ ἄναιε οἷόν ὄσι, γηράσκειν οἷον γίνεται, νοσεῖν, κοπιᾶν, βραχύβιον, μὴ ὁ ἐπαινῶν, μὴ ὁ ἐπαινούμενος, καὶ ὁ μνημονεύων, καὶ ὁ μνημονευόμενος. πρόσεστι δὲ καὶ ἡ χωρία τούτου τοῦ κλίματος, καὶ οὐδὲ αὐταῖς ἄρα πάντες συμφωνοῦσι, καὶ οὐδὲ αὐτὸς τις ἑαυτῷ, καὶ ὅλη δὲ ἡ γῆ στιγμή. πρόσεχε τῷ ὑποκειμένῳ, ἢ τῷ δόγματι, ἢ τῇ ἐνεργείᾳ, ἢ τῷ παρακολουθοῦντι. δικαίως ταῦτα πάσχεις. μᾶλλον δὲ ἐλπὶς ἀγαθὸς αὔξειν γενέσθαι, ἢ σήμερον ἐν. πάσω τί; πάσω ἐπ' ἀνθρώπων οὐ ποιῶν ἀναφέρων. συμβαίνει τί μοι, θέλομαι, ὡδὶ οὕτως θεοὺς ἀναφέρων, καὶ τὴν πάντην πηγὴν, ἀφ' ἧς πάντα τὰ γινόμενα συμμηρύεται. ὁποῖον δὲ φαίνεται δ' λάδανον; ἔλαιον, ἰσχρὸς, ῥύπος, ὕδωρ,

ὕδωρ, γλοιῶδες, πάντα σικχαντά. τοιοῦτον πᾶν μέρος τοῦ βίου, καὶ πᾶν ὑποκείμενον. Λούκιλλα οὐκῆρον, εἶτα Λούκιλλα Σεκούνδα. Μάξιμον, εἶτα Σεκούνδα, ὠθιτύγχανος Δίοτιμον, εἶτα ὠθιτύγχανος Φαυστίναν, Ἀντωνῖνος. εἶτα Ἀντωνῖνος τοιαῦτα πάντα. Κέλερ, Ἀδριανόν· εἶτα Κέλερ. Οἱ δὲ δριμεῖς ἐκεῖνο, ἢ προγνοστικοί, ἢ τετυφωμένοι, ποῦ; οἷον δριμεὶς μὲν, χιάραξ καὶ Δημήτριος ὁ Πλατωνικός, ὁ Εὐδαίμων, καὶ εἴτις τοιοῦτος. πάντα ἐφήμερα, τεθνηκότα πάλαι, ἔνοιοι μὲν οὐδὲ ἐπ' ὀλίγον μνημονευθέντες· οἱ δὲ εἰς μύθους μεταβαλόντες· οἱ δὲ ἤδη καὶ ἐκ μύθων ἐξίτηλοι. τούτων οὖν μεμνῆσθαι ὅτι δεήσει ἤτοι σκεδασθῆναι τὸ συγκριμάτιόν σου, ἢ σβεσθῆναι τοῦ πνευμαίτιον, ἢ μεταστῆναι, καὶ ἀλλαχοῦ καταταχθῆναι. εὐφροσύνη ἀνθρώπου, ποιεῖν τὰ ἴδια ἀνθρώπου. ἴδιον δὲ ἀνθρώπου εὔνοια πρὸς τὸ ὁμόφυλον, ὑπερόρασις τῶν αἰσθητικῶν κινήσεως, διάκρισις τῶν πιθανῶν φαντασιῶν, ὠθιθεώρησις τοῦ τῶν ὅλων φύσεως, καὶ τῶν κατ' αὐτῆς γινομένων. τρεῖς σχέσεις. ἡ μὲν πρὸς τὸ αἴτιον τοῦ περικείμενον. ἡ δὲ πρὸς τῆς θείαν αἰτίαν, ἀφ' ἧς συμβαίνει πᾶσιν πάντα· ἡ δὲ πρὸς τοὺς συμβιοῦντας. Ὁ πόνος ἤτοι τοῦ σώματι κακὸν, οὐκοῦν ἀσφαινέσθω ἢ τῇ ψυχῇ. δὴ ἔξεστιν αὐτῇ τὴν ἰδίαν αἰθρίαν καὶ γαλήνην διαφυλάσσειν, καὶ μὴ

ὑπο-

ἐπιλαμβάνῃ ὅπισθεν. πᾶσα κρίσις, ὁρμὴ, καὶ ὄρεξις, καὶ ἔκκλισις, οὐδὲν, ὃ οὐδὲν κακὸν ὧδε ἀναβαίνει. ἀφάλλῃ τὰς φαντασίας, συνεχῶς σεαυτῷ λέγων· νῦν ἐπ' ἐμοί ἐστιν, ἵνα μὴ ταύτῃ τῇ ψυχῇ μηδεμία πονηρία ἐνῇ, μηδὲ ἐπιθυμία, μηδὲ ὅλως ταραχή τις· ἀλλὰ βλέπων πρὸς τὰ ὑποῖά ἐστιν, χρῶμαι ἑκάστῳ κατ' ἀξίαν μέμνησο ταύτης τῆς ἐξουσίας, καὶ φύσιν λαλεῖν, ἣ οὐ συγκλήτῳ, ὃ πρός σοι δοκεῖ καλῶς. μὴ πολυλογίαν ὑγιεῖ λόγῳ χρῆσθαι. Αὐλὴ Αὐγούστου, γυνὴ, θυγάτηρ, ἔγγονοι, πρόγονοι, ἀδελφὴ, Ἀγρίππας, συγγενεῖς, οἰκεῖοι, φίλοι, Ἄρχος, Μαικήνας, ἰατροὶ, θύτης, ὅλης αὐλῆς θάνατος, εἶτα ἐπὶ τὰς ἄλλας, μὴ καθ' ὅλος ἀνθρώπου θάνατον· οἷον Πομπηΐων. κἀκεῖνο δ' ἐπιμελῶς φόμενον τοῖς μνήμασιν, ἕκατος τοῦ ἰδίου γένους ἐπιλογίζεσθαι. πόσοι ἐπορεύθησαν οἱ πρὸ αὐτοῦ ἵνα διαθέσθαι ἵνα καταλίπωσιν. εἶτα, ἀνάγκη ἕκατόν ἵνα γενέσθαι. πάλιν ὧδε ὅλου γένους θάνατον ζωλυθῆναι δεῖ τὸν βίον, καὶ μίαν πρᾶξιν. καὶ εἰ ἑκάστη τὸ ἑαυτοῦ πρέχει ὡς οἷόν τε ἀρκεῖσθαι. ἵνα δὲ τὸ ἑαυτοῦ ἀποσχῇ, οὐδὲ εἷς σε κωλύσει δρᾶσαι. ἀλλὰ σήσει ταύτῃ ἔξωθεν; οὐδέν, εἰς γε τὸ δικαίως καὶ σωφρόνως καὶ βουλήσεως. ἄλλο δέ τι ἴσως ἐνεργήσειν κωλυθήσεται; ἀλλὰ τῇ πρὸς αὐτὸ τὸ κώλυμα διαρεθήσει, καὶ τῇ ὑπὸ τὸ δεδόμενον

συγνώ-

βυγνώμονι μεταβαλσει δυθυς ἄλλη πραξις αὐ-
τη καθίσταται, συναρμόσασα εἰς τὸν σύμπαν
τοῦ ἧς ὁ λόγος. ἀτύφως μὲν λαβεῖν, βύλυτως δὲ
ἀφεῖναι. Εἴ ποτε εἶδες χεῖρα ἀποκεκομμένην, ἢ
πόδα ἢ κεφαλὴν ἀποτετμημένην χωρὶς τοῦ πο-
τε ἀπὸ τοῦ λοιποῦ σώματος κεῖσθαι, τοιοῦτον
ἑαυτὸν ποιεῖ, ὅσον ἐφ' ἑαυτῷ ὁ μὴ θέλων τὸ συμ-
βαῖνον, καὶ ἀποχάζων ἑαυτὸν· ἢ ὁ ἀκεινώνητόν
τι πράσσων· ἀποτέτμηταί σου τότε ἀπὸ τῆς κοι-
νῆς φύσεν ἑνώσεως. ἐπεφύκεις γὰρ μέρος. νῦν σεαυ-
τὸν ἀπέκοψας. ἀλλ' ὧδε κομιδὴν ἐκεῖνο, ὅπερ ἔξεστι
σοι πάλιν ἑνῶσαι σεαυτὸν, τῷ δὲ ἄλλῳ μέρει θεοῦ
θεὸς ἐπέτρεψεν, χωρισθέντι, καὶ διακοπέντι, πάλ-
λιν ζωνελθεῖν. ἀλλὰ σκέψαι τὴν χρηστότητα, ἣν
τετίμηκεν ἄνθρωπον. καὶ γὰρ ἵνα τὴν ἀρχὴν
μὴ ἀπορρήξῃ ἀπὸ τοῦ ὅλου, ἐπ' αὐτῷ ἐποίησε·
καὶ ἀπορραγὲν πάλιν ἐπανελθεῖν καὶ συμφῦ-
ναι, καὶ τὴν τοῦ μέρους τάξιν ἀπολαβεῖν ἐποίη-
σεν. ὥσπερ τὰς ἄλλας διωρίσμεις ἕνεκεν τῆς
λογικῶν χεδὸν ὅσον ἡ τῶν λογικῶν φύσις. ὅτως
καὶ ταύτην πῦ αὐτῆς ἐλήφαμεν. ὃν τρόπον δὲ
ἐκείνη ὧν ἀν ἀποτάμνηται καὶ αὐτὸ ἐαυτὸν, ἀπο-
πολιτρέπει, καὶ κατατάσσεις τῷ ἐμαρμέ-
νῳ, καὶ μέρος ἑαυτὸν ποιεῖ, ὅτως καὶ τὸ λογι-
κὸν ζῶον δύναται πᾶν κώλυμα, ὕλῃ ἑαυτὸ
ποιεῖν. καὶ χρῆσθαι αὐτῷ ἐφ' οἷον ἂν ἡ ὥρμησε.

Μὴ

Μή σε συγχείτω ἡ τοῦ ὅλου βίου φαντασία. μὴ συμπεριενόει ἐπίπονα οἷα καὶ ὅσα πιθανὸς ἐνθιγεγενῆσθαι. ἀλλὰ καθ' ἕκαστον τῶν πρόντων, ἐπερώτα σεαυτὸν, τί τοῦ ἔργου τὸ ἀφόρητον καὶ ἀνύποιστον. αἰσχυνθήσῃ γὰρ ὁμολογῆσαι. Ἔπειτα ἀναμίμνησκε σεαυτὸν, ὅτι οὔτε τὸ μέλλον, οὔτε τὸ πρῳχηκὸς βαρεῖ σε; ἀλλὰ ἀεὶ τὸ πρόν. οὐκ δὲ κατασμικρύνεται, ἐὰν αὐτὸ μόνον περιορίσῃς, καὶ ἀπελέγχῃς τὴν διάνοιαν, εἰ πρὸς οὐκ ψιλὸν ἀντέχειν μὴ δύναται. Μήτι νῦν παρακάθηται τῇ τοῦ κυρίου σωρῷ, Γάνθεια, ἢ Πέργαμος, τί δὲ τῇ Ἀδριανοῦ, Χαυρίας καὶ Διότιμος; γελοῖον. τί δὲ εἰ παρεκάθηντο, ἔμελλον αἰσθανέσθαι; τί δὲ εἰ ἠσθάνοντο, ἔμελλον ἡσθήσεσθαι; τί δὲ εἰ ἥδοντο, ἔμελλον οὗτοι ἀθάνατοι εἶναι; οὐκ τούτους πρῶτον μὲν γραίας καὶ γέροντας γενέσθαι οὕτως εἵμαρτο, εἶτα ἀποθανεῖν. τί οὖν ὕστερον ἔμελλος ἐκεῖνοι ποιεῖν τοῦτον ἀποθανόντων; γράσων πᾶν τοῦτο, καὶ λύθρον ἐν θυλάκῳ. εἰ δύναται ὀξὺ βλέπειν, βλέπε κρίνων φησὶ σοφωτάτοις. δικαιοσύνης κατεξαναστατικὴν ἀρετὴν οὐχ ὁρῶ ἐν τῇ τοῦ λογικοῦ ζώου κατασκευῇ. ἡδονῆς δὲ ὁρῶ, τὴν ἐγκράτειαν. ἐὰν ἀφέλῃς τὴν σὴν ὑπόληψις περὶ τοῦ λυπεῖν σε δοκοῦντος, αὐτὸς ἐν τῷ ἀσφαλεστάτῳ ἕστηκας. τίς αὐτὸς; ὁ λόγος, ἀλλ' οὐκ εἰμὶ

λόγος.

λόγος. ἔστω. οὐκοῦν ὁ μὲν λόγος αὐτὸς ἑαυτὸν μὴ λυπείτω. εἰ δέ τι ἄλλο σοι κακῶς ἔχει, ὑπολαβέτω αὐτὸ περὶ αὑτοῦ. Ἐμποδισμὸς αἰσθήσεως, κακὸν ζωτικῆς φύσεως. ἐμποδισμὸς ὁρμῆς ὁμοίως κακὸν ζωτικῆς φύσεως. ἔστι δέ τι ἄλλο ὁμοίως ἐμποδιστικὸν καὶ κακὸν τῆς φυτικῆς κατασκευῆς. οὕτως τοίνυν ἐμποδισμὸς νοῦ, κακὸν νοερᾶς φύσεως. πάντα δὴ ταῦτα, ἢ σεαυτὲ μετάφερε. πόνος, ἡδονὴ ἅπτεταί σου. ὄψετ' ἡ αἴσθησις· ὁρμήσαντι ἔνστημα ἐγένετο; εἰ μὲν ἀνυπεξαιρέτως ὥρμας ἤδη ὡς λογικοῦ κακόν. εἰ δὲ τὸ κοινὸν λαμβάνεις, οὔπω βέβλαψαι, οὐδὲ ἐμπεπόδισαι. τὰ μέντοι τοῦ νοῦ ἴδια οὐδεὶς ἄλλος εἴωθεν ἐμποδίζειν. τούτου γὰρ, οὐ πῦρ, οὐ σίδηρος, οὐ τύραννος, οὐ βλασφημία, οὐχ ὁτιοῦν ἅπτετ'· ὅταν γένητ' σφαῖρος, κυκλοτερὴς μένει. Οὐκ εἰ μὴ ἄξιος ἐμαυτὸν λυπεῖν, οὐδὲ γε ἄλλον πώποτε ἑκὼν ἐλύπησα. εὐφραίνει ἄλλον, ἄλλο· ἐμὲ δὲ ἐὰν ὑγιὲς ἔχω τὸ ἡγεμονικὸν, μὴ ἀποστρεφόμενον, μήτε ἀνθρωπόν τινα, μήτε τῶν ἀνθρώποις συμβαινόντων· ἀλλὰ πᾶν εὐμενέσιν ὀφθαλμοῖς ὁρῶντα, καὶ δεχόμενον, καὶ χρώμενον ἑκάστῳ κατ' ἀξίαν. οὐκ ἰδοὺ τὸν χρόνον σεαυτῷ χαρίσαι. Οἱ τὴν ὑστεροφημίαν μᾶλλον διώκοντες, οὐ λογίζονται, ὅτι ἄλλοι τοιοῦτοι μέλλουσιν ἐκεῖνοι εἶναι, οἷοί εἰσιν οὗτοι οὓς βαροῦνται, κἀκεῖνοι δὲ θνητοί. Τί δὲ ὅλως

πρὸς

πρὸς σὲ ἂν ἐκεῖνοι φωναῖς τοιαύταις ἀπηχῶσιν, ἡ ὑπόληψιν τοιαύτην περὶ σοῦ ἔχωσιν. Ἆρον με καὶ βαλε ὅπου θέλεις. ἐκεῖ γὰρ ἕξω τὸν ἐμὸν δαίμονα ἵλεων, τοῦτ' ἔστιν ἀρκούμενον εἰ ἔχοι τὸ ἐνεργοίη κατὰ τὸ ἑξῆς τῇ ἰδίᾳ κατασκευῇ. ἆρα οὖν ἄξιον, ἵνα δι' αὐτὸν κακῶς μου ἔχῃ ψυχὴ, καὶ χείρον ἑαυτῆς ἦ, τὰ πεινουμένη, ὀρεγομένη, συνδυομένη, πτυρομένη; καὶ τί εὑρήσεις τούτου ἄξιον; Ἀνθρώπῳ οὐδενὶ συμβαίνειν τι δύναται, ὃ οὐκ ἐστὶν ἀνθρωπικὸν σύμπτωμα. οὐδὲ βοΐ, ὃ οὐκ ἔστι βοϊκόν. οὐδὲ ἀμπέλῳ, ὃ οὐκ ἔστιν ἀμπελικόν. οὐδὲ λίθῳ, ὃ οὐκ ἔστι λίθῳ ἴδιον. εἰ οὖν ἑκάστῳ συμβαίνει, ὃ καὶ εἴωθεν, καὶ πέφυκεν, τί ἂν δυσχεραίνοις; οὐ γὰρ ἀφόρητόν σοι ἔφερεν ἡ κοινὴ φύσις. εἰ μὲν διά τι τὴν ἐκτὸς λυπῇ, οὐκ ἐκεῖνό σοι ἐνοχλεῖ, ἀλλὰ τὸν σὸν περὶ αὐτοῦ κρίμα. οὖν δὲ ἤδη ἐξαλεῖψαι ἐπί σοι ἐστίν. εἰ δὲ λυπεῖ σέ τι τὴν ἐν τῇ σῇ διαθέσει, τίς ὁ κωλύων διορθῶσαι τὸν δόγμα; ὅμως δὲ τὸ εἰ λυπῇ, ὅτι οὐχὶ τὸν δέ τι ἐνεργεῖς ὑγιές σοι φαινόμενον, τι οὐχὶ μᾶλλον ἐνεργεῖς ἢ λυπῇ; ἀλλὰ ἰσχυρότερόν τι ἐνίσταται. μὴ οὖν λυποῦ. οὐ γὰρ παρὰ σὲ ἡ αἰτία τοῦ μὴ ἐνεργεῖσθαι· ἀλλὰ οὐκ ἄξιος ζῆν μὴ ἐνεργουμένου τούτου. ἄπιθι οὖν ἐκ τοῦ ζῆν εὐμένης, ἢ τὸ ὁ ἐνεργῶν ἀπεθνήσκει ἅμα ἵλεως τοῖς ἐνισταμένοις. Μέμνησο ὅτι ἀκαταμαλάκτος γίνεται τὸ ἡγεμονικὸν, ὅταν εἰς ἑαυτὸ

συστραφὲν ἀρκεσθῇ ἑαυτῷ, μὴ ποιοῦντι ὃ μὴ θέλει, κἂν ἀλόγως παρατάξηται. τί οὖν ὅταν καὶ μετὰ λόγου περιεσκεμμένως κρίνῃ περί τινος διὰ τοῦτο ἀκρόπολίς ἐστιν ἡ ἐλευθέρα παθῶν διάνοια. οὐδὲν γὰρ ὀχυρώτερον ἔχει ἀνθρώπος, ἐφ' ὃ καταφυγὼν ἀνάλοτος λοιπὸν ἂν εἴη. ὁ μὲν οὖν μὴ ἑωρακὼς τοῦτο, ἀμαθής. ὁ δὲ ἑωρακὼς καὶ μὴ καταφεύγων, ἀτυχής. Μηδὲν πλέον σαυτῷ λέγε, ὧν αἱ προηγούμεναι φαντασίαι ἀναγγέλουσιν. ἤγγελται ὅτι ὁ δεῖνα σε κακῶς λέγει. ἤγγελται τοῦτο τὸ δὲ ὅτι βέβλαψαι, οὐκ ἤγγελται. βλέπω ὅτι νοσεῖ τὸ παιδίον. βλέπω. ὅτι δὲ κινδυνεύει, οὐ βλέπω. οὕτως οὖν μένε ἀεὶ ἐπὶ τῶν πρώτων φαντασιῶν, καὶ μηδὲν αὐτὰς ἔνδοθεν ἐπίλεγε, καὶ οὐδὲν σοι γίνεται. μᾶλλον δὲ ἐπίλεγε ὡς γνωρίζων ἕκαστα τῶν ἐν τῷ κόσμῳ συμβαινόντων. σίκυος πικρὸς, ἄφες. βάτοι ἐν τῇ ὁδῷ, ἔκκλινον. ἀρκεῖ, μὴ προσεπείπῃς. τί δὲ καὶ ἐγίνετο ταῦτα ἐν τῷ κόσμῳ. ἐπεὶ καταγελασθήσῃ ὑπὸ ἀνθρώπου φυσιολόγου, ὡς ἂν καὶ ὑπὸ τέκτονος καὶ σκυτέως γελασθείης, καταγινώσκων ὅτι ἐν τῷ ἐργαστηρίῳ ξέσματα καὶ περιτμήματα τῶν κατασκευαζομένων ὁρᾷς. καί τοι ἐκεῖνοι γε ἔχουσι ποῦ αὐτὰ ῥίψωσιν. ἡ δὲ τῶν ὅλων φύσις, ἔξω οὐδὲν ἔχει, ἀλλὰ τὸ

θαυμαστὸν

θαυμαστὸν τῆς τέχνης ταύτης ἐστὶν, ὅτι πολιορκήσασα ἑαυτὴν, πᾶν δ' ἀνδρὸς ἀφθείρεσθαι καὶ γηράσκειν καὶ ἄχρηστον εἶναι δοκοῦν, εἰς ἑαυτὴν μεταβάλλει· καὶ ὅτι πάλιν ἄλλα νεαρὰ ἐκ τούτων αὐτὴν ποιεῖ· ἵνα μήτε οὐσίας ἔξωθεν χρήζῃ, μήτε ὅπου ἐκβαλὴ τὰ σαπρότερα προσδέηται. ἀρκεῖται δὲ καὶ χώρᾳ τῇ ἑαυτῆς, καὶ ὕλῃ τῇ ἑαυτῆς, καὶ τέχνῃ τῇ ἰδίᾳ. Μήτε οὖν ταῖς πλήξεσιν ὑπισύρῃν, μήτε οὖν ταῖς ὁμιλίαις φύρειν· μήτε οὖν ταῖς φαντασίαις ἁλίσκεσθαι· μήτε τῇ ψυχῇ καθάπαξ ξυνελκεσθαι, ἢ ἐκθορνυσθαι, μήτε οὖν τῷ βίῳ ἀχολεῖσθαι· κτείνουσι, κρεανομοῦσι, καὶ τάρεις ἐλαύνουσι. τί δὲ ταῦτα πρὸς δίκην διάνοιαν μιᾶν καθαρὰν, φρενήρη, σώφρονα, δικαίαν; οἷον εἴ τις πᾶσάς ὥκυιν ἀγγεῖα, καὶ λυκεία, βλασφημοίη αὐτὴν, ἢ δὲ ὑπαύεται τοῦ πρᾶον ἀναβλύσαι. κἂν πιλὸν ἐμβάλῃ κἂν κηρίαν, τάχα διαφθείρει αὐτὰ καὶ ἐκκλύσει, ὃ δὴ μῶς βαφῆσεῖ. πῶς δὲ πηγὴν ἀσύναλον ἔξεις, ὃ μὴ φρέαρ; φύρε σεαυτὸν πάσης ὥρας εἰς ἐλευθερίαν, μετὰ τοῦ εὐμενῶς, ὃ κακῶς, καὶ δημόνως. Ὁ μὲν μὴ εἰδὼς ὅτι ἐστὶ κόσμος, οὐκ οἶδεν ὅπου ἐστίν. ὃς δὲ μὴ εἰδὼς πρὸς ὃν συφυκεν, οὐκ οἶδεν ὅστις ἐστὶν, οὐδὲ τί δεῖ κόσμος. ὁ δὲ καὶ τούτων ἀφιλόπονος, οὐδὲ πρὸς ὃ, τί αὐτὸς συφυκεν εἶ ποι. τίς δὲ φαίνεται

σοι ὁ τὸν τῶν κρατούντων ἔπαινον φεύγων ἢ δίων, ἢ οἱ οὐδ' ὅπου εἰσὶν, οὔτε οἵ τινές εἰσι γινώσκουσιν. Ἐπαινεῖσθαι θέλεις ὑπὸ ἀνθρώπου, τρίς τῆς ὥρας ἑαυτῶν καταρωμένου. ἀρέσκειν θέλεις ἀνθρώπῳ, ὃς οὐκ ἀρέσκει ἑαυτῷ; ἀρέσκει ἑαυτῷ ὁ μετανοῶν ἐφ' ἅπασι σχεδὸν οἷς πράσσει; Μη κέτι μόνον συμπνεῖν τῷ περιέχοντι ἀέρι, ἀλλὰ ἤδη καὶ συμφρονεῖν τῷ περιέχοντι πάντα νοερῷ. οὐ γὰρ ἧττον ἡ τῷ νοερὰ δύναμις πάντη κέχυται διαπεφοίτηκε πάσαι δυναμένῳ, ἤπερ ἡ ἀερώδης τῷ ἀναπνεῦσαι δυναμένῳ. Γενικῶς μὲν ἡ κακία οὐδὲν βλάπτει τὸν κόσμον· ἡ δὲ κατὰ μέρος οὐδὲν βλάπτει τὸν ἕτερον. μόνῳ δὲ βλαβερά ἐστι τούτῳ, ᾧ ἐνθιτέτραπται καὶ ἀπηλλάχθαι αὐτῆς, ὁπόταν πρῶτος οὕτως θελήσῃ. Τῷ ἐμῷ προαιρετικῷ τὸ τοῦ πλησίον προαιρετικὸν ἐπίσης ἀδιάφορόν ἐστιν, ὡς καὶ τὸ πνευμάτιον αὐτοῦ, καὶ τὸ σαρκίδιον. καὶ τὰ εἰ ὅτι μάλλιστα ἀλλήλων ἕνεκεν γεγόναμεν· ὅμως τὰ ἡγεμονικὰ ἡμῶν, ἕκαστον τὴν ἰδίαν κυρίαν ἔχει. ἐπεί τοι ἔμελλεν ἡ τοῦ πλησίον κακία ἐμοῦ κακὸν εἶναι, ὅπερ οὐκ ἔδοξε τῷ θεῷ, ἵνα μὴ ἐπ' ἄλλῳ ἢ τὸ ἐμὲ ἀτυχεῖν. Ὁ ἥλιος κατακεχύσθαι δοκεῖ, καὶ πάντη γε κέχυται οὐ μὴν ἐκκέχυται. ἡ γὰρ χύσις αὐτὴ τάσις ἐστιν. ἀκτῖνες γοῦν αἱ αὐγαὶ αὐτοῦ, ἀπὸ τοῦ ἐκτείνεσθαι λέγονται. ὁποῖον δέ τι ἐστὶν ἀκτὶς, ἴδοις ἂν

εἰ διά-

εἰ διά τινος στενοῦ εἰς ἐσκιασμένον οἶκον τὸ ἀφ' ἡ-
λίου φῶς εἰσδυόμενον θεαίσαιο. γίνεται γὰρ κατ'
εὐθὺ. καὶ ὥσπερ διαιρεῖται δὴ πρὸς τὸ στερέμ-
νιον, ὅτι ἂν ἀπαντήσῃ διεῖργον τὴν ἐπέκεινα ἀ-
έρα. ἐνταῦθα δὲ ἔστη, καὶ οὐ κατώλισθεν, οὐδὲ ἔπε-
σε. τοιαύτην οὖν τὴν λύσιν καὶ διάχυσιν τῆς διά-
νοιας εἶναι χρῆ, μηδαμῶς ἔκχυσιν· ἀλλὰ τάσιν, καὶ
πρὸς τὰ ἀπαντῶντα κωλύματα, μὴ βίαιον, μη-
δὲ ῥαγδαίαν τὴν ἐπέρεισιν ποιεῖσθαι. μηδεμὴν
καταπίπτειν, ἀλλὰ ἵστασθαι, καὶ ὑπιλαμπειν τὸ δε-
χόμενον. αὐτὸ δὲ ἑαυτὸ στερήσει τῆς αὐγῆς τὸ μὴ
πρὰ πέμπον αὐτὴν. Ὁ τὸν θάνατον φοβούμε-
νος, ἤτοι ἀναισθησίαν φοβεῖται, ἢ αἴσθησιν ἑτε-
ροίαν. ἀλλ' εἴτε οὐκέτι αἴσθησιν, οὐδὲ κακοῦ τινος
αἰσθήσῃ, εἴτε ἀλλοιοτέραν αἴσθησιν κτήσῃ, ἀλ-
λοῖον ζῶον ἔσῃ, καὶ τοῦ ζῆν οὐ παύσῃ. οἱ ἄνθρω-
ποι γεγόνασιν ἀλλήλων ἕνεκεν. δίδασκε οὖν, ἢ
φέρε. ἄλλως βέλος, ἄλλως νοῦς φέρεται. μέν-
τοι νοῦς καὶ ὅταν εὐλαβῆται καὶ ὅταν περὶ
τὴν σκέψιν στρέφηται, φέρεται κατ' εὐθὺ οὐ-
δὲν ἧττον, καὶ ὑπὲρ τὸ προκείμενον εἰσιέναι εἰς τὸ
ἡγεμονικὸν ἑκάστου. πρέχει δὲ καὶ ἑτέρῳ
παντὶ εἰσιέναι εἰς τὸ ἑαυτοῦ
ἡγεμονικόν.

ΜΑΡΚΟΥ ΑΝΤΩΝΙ-
νου αὐτοκράτορος, τῶν εἰς ἑαυτὸν· Βιβλίον θ'.



Ὁ ἀδικῶν, ἀσεβεῖ. τῆς γὰρ τῶν ὅλων φύσεως κατεσκευακυῖας τὰ λογικὰ ζῶα ἕνεκεν ἀλλήλων, ὥστε ὠφελεῖν μὲν ἄλληλα κατ' ἀξίαν, βλάπτειν δὲ μηδαμῶς, ὁ τὸ βούλημα ταύτης παραβαίνων, ἀσεβεῖ δηλονότι εἰς τὴν πρεσβυτάτην τῶν θεῶν. ἡ γὰρ τῶν ὅλων φύσις, ὄντων ἐστὶ φύσις. τὰ δέ γε ὄντα πρὸς τὰ ὑπάρχοντα πάντα οἰκείως ἔχει. ἔτι δὲ καὶ ἀλήθεια αὕτη ὀνομάζεται καὶ τῶν ἀληθῶν ἁπάντων πρώτη αἰτία ἐστὶν. ὁ μὲν οὖν ἑκὼν ψευδόμενος ἀσεβεῖ, καθόσον ἐξαπατῶν ἀδικεῖ· ὁ δὲ ἄκων, καθόσον διαφωνεῖ τῇ τῶν ὅλων φύσει, καὶ καθόσον ἀκοσμεῖ, μαχόμενος τῇ τοῦ κόσμου φύσει. μάχεται γὰρ ὁ ὑπὲρ τἀναντία τοῖς ἀληθέσι φερόμενος πρὸς ἑαυτὸν. ἀφορμὰς γὰρ προειλήφει παρὰ τῆς φύσεως, ὧν ἀμελήσας οὐχ οἷός τέ ἐστι νῦν διακρίνειν τὰ ψευδῆ ἀπὸ τῶν ἀληθῶν. Ὁ μὲν ὁ τὰς ἡδονὰς ὡς ἀγαθὰς διώκων, τοὺς δὲ πόνους ὡς κακὰ φεύγων, ἀσεβεῖ. ἀνάγκη γὰρ τὸν τοιοῦτον, μέμφεσθαι

πολ-

πολλάκις τῇ κοινῇ φύσει, ὡς πρὸς ἀξίαν τι ἀ-
πονεμούσῃ τοῖς φαύλοις καὶ τοῖς σπουδαίοις.
διὰ τὸ πολλάκις τοὺς μὲν φαύλους ἐν ἡδοναῖς
εἶναι, καὶ τὰ ποιητικὰ τούτων κτᾶσθαι·
τοὺς δὲ σπουδαίους, πόνῳ, καὶ τοῖς ποιητικοῖς
τούτου περιπίπτειν. ἔτι δὲ ὁ φοβούμενος τοὺς πό-
νους, φοβηθήσεταί ποτε τὴν ἐσομένων τι ἐν τῷ
κόσμῳ. τοῦτο δὲ ἤδη ἀσεβές. ὅτε διώκων τὰς ἡ-
δονὰς, οὐκ ἀφέξεται τοῦ ἀδικεῖν. τοῦτο δὲ ἐναρ-
χῶς ἀσεβές. χρὴ δὲ πρὸς ἃ ἡ κοινὴ φύσις ἐπίσης
ἔχει (οὐ γὰρ ἀμφότερα ἐποίει, εἰ μὴ πρὸς ἀμφό-
τερα ἐπίσης εἶχε) πρὸς ταῦτα δὲ τοὺς τῇ φύσει
βουλομένους ἕπεσθαι, ὁμογνώμονας ὄντας ἐ-
πίσης διακεῖσθαι. ὅστις οὖν πρὸς πόνους καὶ ἡδο-
νὰς, ἢ θάνατον δὲ ζωὴν, ἢ δόξαν καὶ ἀδοξίαν, οἷς
ἐπίσης ἡ τὴν ὅλον φύσις χρῆται, αὐτὸς οὐκ
ἐπίσης ἔχει, δῆλον ὡς ἀσεβεῖ. λέγω δὲ τὸ χρῆ-
σθαι τούτοις ἐπίσης τὴν κοινὴν φύσιν, ἀντὶ τοῦ
κατὰ τὸ συμβαίνειν ἐπίσης κατὰ τὸ ἑξῆς γινο-
μένοις, δὲ ἰδιγινομένοις ὁρμῇ τινι ἀρχαίᾳ τῆς
προνοίας καθ' ἣν ἀπό τινος ἀρχῆς ὥρμησεν
ἰδὶ τὴν δὲ τὴν διακόσμησιν, συλλαβοῦσα τινὰς
λόγους τὴν ἐσομένων, καὶ δυνάμεις γονίμους ἀ-
φορίσασα, ὑποστάσεών τε, καὶ μεταβολῶν καὶ
διαδοχῶν τοιούτην. Χαριεστέρου μὲν ἦν ἀν-
δρὸς ἄγευστον ψευλογίας, καὶ πάσης ὑπο-

κείσεως καὶ τρυφῆς καὶ τύφου γενόμενον, ὑφ' ἀνθρώπων ἀποτελθεῖν. τὸ δ' ὅλον κρεαθῆναί γε τὸν ἀκροτυβῆναι, δύτροπα πολοῦς ἢ πεφηνὰς πεφυκαθῆναι τῇ κακίᾳ· καὶ ὅπως δὲ ἡ πᾶσα πείθει φύγειν ἐκ τοῦ λοιμοῦ. λοιμὸς μὲν ἡ φθορὰ διανοίας πολλῷ γε μᾶλλον ἢ τοῦ περικεχυμένου τούτου πνεύματος τοιάδε τις δυσκρασία καὶ τροπή. αὕτη μὲν γὰρ ζώοις λοιμὸς καὶ θῆρα. ἔστιν ἐκείνη δὲ ἀνθρώπων καὶ θεῶν ἀνθρωποί εἰσιν. Μὴ καταφρόνει θανάτου, ἀλλὰ εὐαρέστει αὐτῷ, ὡς καὶ τούτου ἑνὸς ὄντος, ὧν ἡ φύσις ἐθέλει. οἷον γὰρ ἐστὶ τὸ νεάσαι, ἢ τὸ γηρᾶσαι ἢ τὸ αὐξῆσαι, καὶ τὸ ἀκμάσαι, καὶ ὀδόντας, καὶ γένειον, ἢ πολιὰς ἐνεγκεῖν, καὶ σπεῖραι, καὶ κυοφορῆσαι, καὶ ἀφεῖναι, καὶ τὰ ἄλλα τὰ φυσικὰ ἐνεργήματα, ὅσα αἱ τοῦ βίου ὧραι φέρουσιν, τοιοῦτόν ἐστὶ καὶ τὸ διαλυθῆναι. σκόπει μὲν οὖν κατὰ ἄνθρωπον ἐστὶ λελογισμένον, μὴ ὀλιγωρῶς, μηδὲ ὠσικῶς, μηδὲ ὑποφαύλως πρὸς τὸν θάνατον ἔχειν· ἀλλὰ συνειμένον ὡς μίαν τῶν φυσικῶν ἐνεργειῶν. ὡς νῦν συνειμένος, ὅτε ἔμβρυον ἐκ τῆς γαστρὸς τῆς γυναικός σου ἐξέλθῃ, ὅτως ἐκδέχεσθαι τὴν ὥραν ἐν ᾗ τὸ ψυχάριον ἐκ τοῦ ἐλύτρου τούτου ἐκπεσεῖται. εἰ δὲ θ ἰδιωτικὸν πρόσπτυγμα ἀφυσικώτερον θέλεις, μᾶλλόν σε εὐκόλως πρὸς τὸν θάνατον ποιήσει, ἢ ἔπισασις ἢ τὰ ὑπνεύματα,

κάμινα, ὧν μέλλῃς ἀφίστασθαι. Σὺ μετ' οἴων ἦθῶν ἀκέπαιος ἡ ἐμπεφυρμένη, πρὸς ὑπόπτευε μὲν γὰρ αὐτοῖς ἥκιστα δεῖ, ἀλλὰ καὶ κήδεσθαι, καὶ πάσῃ φέρειν. μεμνῆσθαι μέντοι ὅτι οὐκ ἀπ' ἀνθρώπων ὁμοδογματούντων σοι ἡ ἀπαλλαγὴ ἔσται. ἔδει γε μόνον εἶπερ ἄρα αὐθέλκειν αὖ μὴ κατέχειν ἐν τῷ ζῆν, εἰ συζῆν ἐφέδει οἷς τὰ ἴδια δόγματα πρὸς ἀπεποιημένοις. νῦν δ' ὁρᾷς ὅσοι καὶ ἐν τῇ διαφωνίᾳ τῆς συμβιώσεως, ὥστε εἶπεν, θᾶττον ἔλθῃς ὦ θάνατε μή που καὶ αὐτὸς ἐπιλάθωμαι ἐμαυτοῦ.

Ὁ ἁμαρτάνων ἑαυτῷ ἁμαρτάνει. ὁ ἀδικῶν ἑαυτὸν κακεῖ, κακὸν ἑαυτὸν ποιῶν. ἀδικεῖ πολλαχοῦ ὁ μή τι ποιῶν, ἐνίοτε δ' ὁ τοιοῦτόν τι. ἀρχὴ ἡ πρῶτα ὑπόληψις καταληπτική, καὶ ἡ πρώτη πρᾶξις κοινωνική· καὶ ἡ παρὸν πρὸς ἅπαν διάθεσις δυαρεστικὴ πρὸς πᾶν τὸ παρὰ τὸ ἐκ τῆς αἰτίας συμβαῖνον, ἐξαλεῖψαι φαντασίαν, σπεῦσαι, ὁρμῶ, σβέσαι ὄρεξιν, ἐφ' ἑαυτῷ ἔχειν τὸ ἡγεμονικόν, εἰς μὲν τὰ ἄλογα ζῶα, μία ψυχὴ διήρηται. εἰς δὲ τὰ λογικὰ μία νοερὰ ψυχὴ μεμέρισται. ὥσπερ καὶ μία γῆ ἐστὶν ἁπάντων τῶν γεωδῶν, καὶ ἑνὶ φωτὶ ὁρῶμεν. καὶ ἕνα ἀέρα ἀναπνέομεν, ὅσα ὁρατικὰ καὶ ἔμψυχα πάντα. ὅσα κοινοῦ τινος μετέχει, πρὸς τὸ ὁμογενὲς ὠθοῦνται. τὸ γεώδες πᾶν

ρέπει ὡδὶ γλῶ, τὸ ὑγρὸν πᾶν, σύῤῥουν, δ' ἀεροῦδες ὁμοίως, ὥστε χρήζειν τὴν διεργόντην καὶ βίας. Τὸ πῦρ αὐωφερὲς μὲν, ὀξὺ δ' τοιχειῶδες πῦρ. πᾶν τὶ δὲ τυγὸν αὐταῦθα πρὸς δ' ξυνεξαπτεσθαι ἕτοιμον. οὕτως, ὥστε καὶ πᾶν δ' ὑλικὸν δ' ὀλίγῳ ξηρότερον, δυσέξαπτον εἶναι, διὰ τὸ ἐλαπτὸν ἐγκεκρᾶσθαι αὐτοῦ δ' κωλυτικὸν πρὸς ἕξαψιν. καὶ τοίνυν πᾶν τὸ κοινῆς νοερᾶς φύσεως μέτοχον, πρὸς δ' συγγενὲς ὁμοίως πῶς ἔχει, ἢ καὶ μᾶλλον. ὅσῳ γὰρ ἄν τι κρεῖττον ᾖ τὰ ἄλλα, τοσούτῳ καὶ πρὸς δ' συγκιρνᾶσθαι τῷ οἰκείῳ καὶ συγχεῖσθαι ἑτοιμότερον. θῆρες γοῦν ὡδὶ μὲν τὴν ἀγέλην δυρέσθη σμήνη, καὶ ἀγέλαι, καὶ νεοσσοτροφίαι, καὶ οἷον ἔρωτες. ψυχαὶ γὰρ ἤδη ἦσαν αὐταῦθα, καὶ τὸ συναγωγὸν ἐν τοῖς κρείττοσι ὡδὶ τεινόμενον θᾶττον ἔχει, οἷον οὔτε ὡδὶ φυτὰ ἰῶ, οὔτε ὡδὶ λίθοι, ἢ ξύλα. ὡδὶ δὲ τὰ λογικὰ ζῶα, πολιτεῖαι, καὶ φιλίαι, καὶ οἶκοι, καὶ σύλλογοι, καὶ ἐν πολέμοις συμβῆναι καὶ συστῆναι. ὡδὶ δὲ τὰ ἔτι κρειττόνων, καὶ ἐκδιεσπασμένα τὴν τρόπον πνεῦμα ἕνωσιν ὑπέσχε, οἷα ὡδὶ τὰ ἄστρα. οὕτως ἡ ἐπὶ δ' κρεῖττον ἐπανάβασις συμπάθειαν καὶ ἐν διεσῶσιν ἐργάσασθαι ἐδύνατο. Ὅρα δὴ τὸ νῦν γινόμενον. μόνα γὰρ τὰ νοερὰ νῦν ὡδὶ ἐλήλυθε τὸ πρὸς ἄλληλα πᾶν δὲ ἧς κλίνειν.

ξωνθύσεως, καὶ τὸ σύῤῥουν ὧδε μόνον οὐ βλέπεται. ἀλλ' ὅμως καίτοι φθύγοντος πολιτικὰ λαμβάνονται. κρατεῖ γὰρ ἡ φύσις. ὄφις δὲ ὁ λεγόμενος παφυλαγόνων. θαῦμα γοῦν εἴρει τις ἀὴρ γεώδης τι μηδενὸς γεώδους πρόσω πόμενον, ὅπερ ἄνθρωπον ἀνθρώπου ἀποκλεισμένον. φέρει καρπὸν καὶ ἄνθρωπος καὶ θεὸς, καὶ ὁ κόσμος, ἐν ταῖς οἰκείαις ὥραις ἕκαστα φέρων. εἰ δὲ ἡ συνήθεια κυρίως τέτροφεν ἐπὶ ἀμπέλου καὶ τῶν ὁμοίων οὐδὲν τοῦτο. ὁ λόγος δὲ καὶ κοινὸν καὶ ἴδιον καρπὸν ἔχει, καὶ γίνεται ἐξ αὐτοῦ τοιοῦδε ἕτερα, οἷόν τι αὐτός ἐστιν ὁ λόγος. Εἰ μὲν δύναμαι μεταδιδάσκειν· εἰ δὲ μή, μέμνησο ὅτι πρὸς σοῦ ἡ βουλὴ σοὶ δέδοται. καὶ οἱ θεοὶ δὲ βουλεύονται τοῖς τοιούτοις εἰσίν, εἰς οἷα δὲ καὶ συνεργοῦσιν, εἰς ὑγίειαν, εἰς πλοῦτον, εἰς δόξαν. οὕτως ἐσὶ χρηστοί. ἔξεστι δὲ καὶ σοὶ· εἰ ἐθέλεις, τίς ὁ κωλύων; πόνει μὴ ὡς ἄθλιος, μηδὲ ὡς ἐλεεῖσθαι ἢ θαυμάζεσθαι θέλων. ἀλλὰ μόνον οὗ θέλει, κινεῖσθαι καὶ ἴσχεσθαι, ὡς ὁ πολιτικὸς λόγος ἀξιοῖ. σύμβουλον ἐξῆλθον πάσης πολιτείας, μᾶλλον δὲ ἐξέβαλον πᾶσαν πολίτευσιν. ἔξω γὰρ οὐκ εἰμὶ, ἀλλ' ἔνδον ἐν ταῖς ἐμαυτοῦ φροντίσι. πάντα ταῦτα σωπήσω μὲν τῇ πείρᾳ, ἐφήμερα δὲ τῷ χρόνῳ· ῥυπαρὰ δὲ τῇ ὕλῃ· πάντα νῦν οἷα ἐπ' ἐκείνων, ὃς κατεθάφαμεν. τὰ πράγματα ἔξω θυ-

ρῶν

ρῶν ἕστηκεν, αὐτὰ ἐφ' ἑαυτῶν μηδὲν μήτε εἰδότα περὶ αὐτῶν, μήτε ἀπαφαινόμενα. τί οὖν ἀπαφαίνεται περὶ αὐτῶν; ἡ ἡγεμονικὸν, οὐκ ἐν πείσει, ἀλλ' ἐνεργείᾳ τὸ τοῦ λογικοῦ πολιτικοῦ ζώου κακὸν καὶ ἀγαθόν. ὥσπερ οὐδὲ ἡ ἀρετὴ καὶ κακία αὐτοῦ ἐν πείσει, ἀλλὰ ἐνεργείᾳ. τῷ ἀναῤῥιφέντι λίθῳ οὐδὲν κακὸν τὸ κατενεχθῆναι· οὐδὲ ἀγαθὸν τὸ ἀνενεχθῆναι.

Διέλθε ἔσω εἰς τὰ ἡγεμονικὰ αὐτῶν, καὶ ὄψει τίνας κριτὰς φοβῇ, οἵους καὶ περὶ αὐτῶν ὄντας κριτάς. πάντα ἐν μεταβολῇ. καὶ αὐτὸς σὺ ἐν διηνεκεῖ ἀλλοιώσει, καὶ κατὰ τι φθορᾷ. καὶ ὁ κόσμος δὲ ὅλος, τὸ ἄλλου ἁμάρτημα. ἐκεῖ δεῖ καταλιπεῖν. ἐνεργείας ἀπόληξις, ὁρμῆς, ὑπολήψεως παῦλα, καὶ οἷον θάνατος, οὐδὲν κακόν. μέτιθι νῦν ἐπὶ ἡλικίαν, οἷον τὴν παιδικήν, τὴν τοῦ μειρακίου, τὴν νεότητα, τὸ γῆρας. καὶ γὰρ τούτην πᾶσα μεταβολὴ θάνατος, μήτι δεινόν; μέτιθι νῦν ἐπὶ βίον τὸν ὑπὸ τῷ πάππῳ, εἶτα τὸν ὑπὸ τῇ μητρὶ, εἶτα τὸν ὑπὸ τῷ πατρὶ. καὶ ἄλλας δὲ πολλὰς διαφορὰς καὶ μεταβολὰς καὶ ἀπολήξεις εὑρίσκοις, ἐπερώτα σεαυτὸν μήτι δεινόν. οὕτως τοίνυν οὐδὲ ἡ τοῦ ὅλου σου βίου λῆξις, καὶ παῦλα, καὶ μεταβολὴ. τρέχε ἐπὶ τὸ σεαυτοῦ ἡγεμονικὸν, καὶ τὸ τοῦ ὅλου, καὶ τὸ τούτου. τὸ μὲν σεαυτοῦ. ἵνα νοῦς

δικαῖ-

δικαϊκὸν αὐτὸ ποιήσης. τὸ δὲ τοῦ ὅλου, ἵνα συμμνημονεύσῃς τίνος μέρος εἶ. τὸ δὲ τούτου, ἵνα ὑπιστήσῃς πότερον ἄγνοια, ἢ γνώμη. Ὁ ἅμα λογίσῃ ὅτι συγγενεὺς. ὥσπερ αὐτὸς σὺ πολιτικοῦ συστήματος συμπληρωτικὸς εἶ, οὕτως καὶ πᾶσα πρᾶξις σου συμπληρωτικὴ ἔστω ζωῆς πολιτικῆς. ἥτις ἐὰν οὖν πρᾶξις σου μὴ ἔχῃ τὴν ἀναφορὰν, εἴτε προσεχῶς, εἴτε πόῤῥοθεν ὑπὲρ τὸ κοινωνικὸν τέλος, αὕτη διασπᾷ τὸν βίον, καὶ οὐκ ἐᾷ ἕνα εἶναι. Ὁ στασιώδης ἐστὶν, ὥσπερ ἐν δήμῳ ὁ τὸ καθ' αὑτὸν μέρος διϊστάμενος. ἀπὸ τῆς τοιαύτης συμφωνίας παιδίων ὀργαὶ, καὶ παίγνια, καὶ πνευμάτια, νεκροὺς βαστάζοντα, ὥστε ἐνεργέστερον προσπεσεῖν τοῦ τῆς νεκύας, ἴθι ὑπὲρ τὴν ποιότητα τοῦ αἰτίου. καὶ ἀπὸ τοῦ ὑλικοῦ αὐτὸ περιγράψας θέασαι, εἶτα καὶ τὸν χρόνον περιόρισον, ὅσον πλεῖστον ὑφίστασθαι πέφυκε τοῦτο τὸ ἰδίως ποιόν, ἀνέτλης μυρία, διὰ τὸ μὴ ἀρκεῖσθαι τῷ σῷ ἡγεμονικῷ. ποιοῦτι ταῦτα οἷα κατεσκεύασται· ἀλλὰ ἅλις.

Ὅταν ἄλλος ψέγῃ σε, ἢ μισῇ, ἢ τοιαῦτά τινα ἐκφωνῶσιν, ἐρχου πρὸς τὰ ψυχαίρια αὐτῶν δίελθε ἔσω, καὶ ἴδε ποῖοι τινες εἰσίν. ὄψει, ὅτι οὐ δεῖ σε σπᾶσθαι, ἵνα τούτοις τί ποτε περὶ σοῦ δοκῇ. εὐνοεῖν μέντοι αὐτοῖς δεῖ. φύσει γὰρ φίλοι. καὶ οἱ θεοὶ δὲ παν-

δὲ παντοίως αὐτοῖς βοηθοῦσι, δι' ὀνείρων, δι' ἀ-
μαντειῶνς. πρὸς ταῦτα μέντοι πρὸς ἃ ἐκεῖνοι
διαφέρονται, ταῦτα ἐστὶ τὰ τοῦ κόσμου ἐγκύκλια,
ἄνω κάτω, ἐξ αἰῶνος εἰς αἰῶνα. καὶ ἤτοι ἐφ'
ἕκαστον ὁρμᾷ ἡ τοῦ ὅλου διάνοια, ὅπερ εἰ ἔστιν, ἀπο-
δέχου τὸ ἐκείνης ὁρμητὸν, ἡ ἅπαξ ὥρμησε. τὰ δὲ
λοιπὰ, κατ' ἐπακολούθησιν. καὶ τί ἐν τίνι.
τρόπον γάρ τινα ἄτομοι, ἢ ἀμερῆ. τὸ δὲ ὅλον,
εἴ τις θεὸς εὖ ἔχει πάντα. εἴτε δ' εἰκῇ, μὴ καὶ
σὺ εἰκῇ. ἤδη πάντας ἡμᾶς γῆ καλύψει. ἔπει-
τα καὶ αὐτὴ μεταβαλῇ. κἀκεῖνα εἰς ἄπειρον
μεταβαλεῖ· καὶ πάλιν ἐκεῖνα εἰς ἄπειρον· τὰς
γὰρ ὑπηκυματώσεις τῶν μεταβολῶν καὶ ἀλ-
λοιώσεων ἐνθυμούμενός τις, καὶ τὸ τάχος,
παντὸς θνητοῦ καταφρονήσει. χειμάῤῥους ἡ
τῶν ὅλων αἰτία, πάντα φέρει. ὡς εὐτελῆ δὲ
καὶ τὰ πολιτικὰ ταῦτα, καὶ ὡς οἴεται φιλοσό-
φως πρακτικὰ ἀνθρωπειαμυξῶν μεστά. ἄνθρω-
πε, τί ποτε ποίησον, ὃ νῦν ἡ φύσις ἀπαιτεῖ· ὅρ-
μησον ἐὰν διδῶται. καὶ μὴ περιβλέπου εἴ τις εἴ-
σεται· μηδὲ τὴν Πλάτωνος πολιτείαν ἔλπιζε,
ἀλλὰ ἀρκοῦ, εἰ τὸ βραχύτατον πρόεισι. καὶ
τούτου αὐτοῦ τὴν ἔκβασιν, ὡς οὐ μικρόν τι ἐστὶ
διανοῦ. δόγμα γὰρ αὐτῶν τὶς μεταβάλλει; χω-
ρὶς δὲ δογμάτων μεταβολῆς, τί ἄλλο, ἢ
δουλεία στενόντων, καὶ πείθεσθαι προσποιου-
μένων.

μένων. Ὕπαγε νῦν καὶ Ἀλέξανδρον, καὶ Φίλιππον, καὶ Δημήτριον τὸν Φαληρέα μοι λέγε. ὄφονται εἰ εἶδόν τί ἢ κοινὴ φύσις ἤθελε, ἐφ' ἑαυτῆς ἐπαιδαγώγησεν· εἰ δὲ ἐπραγώδησεν, οὐδεὶς με κατακέκρικε μιμεῖσθαι. ἀτοπόν ἐστι καὶ αἰδήμον τὸ φιλοσοφίας ὄργον. μήμε ἄπαγε ἐπὶ σεμνοτυφίαν αἴρεσθαι ἰδιωτεύειν ἀγελαίας μυείας, καὶ τελετὰς μυείας ἐφ' ἑαυτῶν, ἐν χειμῶσι καὶ γαλήναις, καὶ διαφορὰς γινομένων, συγγινομένων, ἀγχινομένων. Ἐπινόει δὲ καὶ τὸν ὑπ' ἄλλων πάλαι βεβιωμένον βίον, τὸν μετὰ σε βιωθησόμενον, καὶ τὸν νῦν ἐν τοῖς βαρβάροις ἔθνεσι βιούμενον. καὶ ὅσοι μὴ ἴσασί σου γινώσκουσιν, ὅσοι δὲ τάχα ὠφελήσονται, ὅσοι δὲ ἐπαινοῦντες ἴσως νῦν σε τάχα μεθέξουσι. καὶ ὡς οὔτε ἡ μνήμη ἀξιόλογός γε, οὔτε ἡ δόξα, ὅτι ἄλλο ποτὲ σύμπαν. ἀταραξία μὴ πρὸς τὰ ἀφ' ἑαυτῆς αἰτίας συμβαίνοντα. δικαιότης δὲ ἐν τοῖς πρὸς τὰ παρόντα ἐνεργουμένοις. Τοῦτ' ἔστιν ὁρμὴ μὴ πρᾶξις, καταλήγουσα ἐπ' αὐτὸ τὸ κοινωνικὸν ὡς πρᾶξαι, ὡς τὸ τοῦ κατὰ φύσιν ὄν. πολλὰ τοίνυν ἐστὶ τὰ εἰλεῖν τὴν ἐνοχλοῦντά σοι δυνάμενα, ὅλα ἐν τῇ ὑπολήψει κείμενα· μὴ πρόλιπε εὐρυχωρίαν τὰ εἰσποιοῦσα. ἔξεστι σεαυτῷ τὸν ὅλον κόσμον περιφλαφεῖναι τῇ γνώμῃ, καὶ ἓν ἴδιον αἰῶνα περινοεῖν,

καὶ

καὶ τὴν τῶν κατὰ μέρος ἑκάστου πράγματος ταχεῖαν μεταβολὴν ἐνθινοεῖσθαι. ὡς βραχὺ μὲν τὸ ἀπὸ γενέσεως μέχρι διαλύσεως, ἀχανὲς δὲ τὸ πρὸ τῆς γενέσεως, ὡς καὶ τὸ μετὰ τὴν διάλυσιν ὁμοίως ἄπειρον.

Πάντα ὅσα ὁρᾷς τάχιστα φθαρήσεται, καὶ οἱ φθειρόμενα αὐτὰ ἐνθιδόντες τάχιστα, καὶ αὐτοὶ φθαρήσονται. καὶ ὁ ἑξατόγηρως ἀποθανὼν εἰς ἴσον καταστίσεται τῷ προώρῳ. τίνα τὰ ἡγεμονικὰ τούτην, καὶ περὶ οἷα ἐσπουδάκασι, καὶ δι' οἷα φιλοῦσι καὶ τιμῶσι. γυμνὰ νόμιζε τὰ ψυχάρια αὐτῶν. ὅτε δοκοῦσι βλάπτειν ψέγοντες, ἢ ὠφελεῖν ἐξυμνοῦντες, ὅσῃ οἴησις. ἡ ἀποβολὴ οὐδὲν ἄλλο ἐστὶν, ἢ μεταβολὴ, τούτῳ δὲ χαίρει ἡ τῶν ὅλων φύσις, καθ' ἣν πάντα καλῶς γίνεται. ἐξ αἰῶνος ὁμοειδῶς ἐγίνετο, καὶ εἰς ἄπειρον τοιαῦθ' ἕτερα ἔσται. τί οὖν λέγεις ὅτι ἐγίνετό τε πάντα ὃ καὶ πάντα ἀεὶ κακῶς ἔσται, καὶ οὐδεμία ἄρα δυνάμις ἐν τοσούτοις θεοῖς ἐξευρέθη ποτὲ ἡ διορθώσουσα ταῦτα, ἀλλὰ κατακέκριται ὁ κόσμος ἐν ἀδιαλείπτοις κακοῖς συνέχεσθαι. Τὸ σαπρὸν τῆς ἑκάστῳ ὑποκειμένης ὕλης, ὕδωρ, κόνις, ὀστάρια, γράσος ἢ πάλιν, πῶροι γῆς, τὰ μάρμαρα, καὶ ὑποστάθμαι, ὁ χρυσὸς, ὁ ἄργυρος, καὶ τριχία ἡ ἐσθής, καὶ αἷμα ἡ πορφύρα, καὶ τὰ ἄλλα πάντα τοιαῦτα. καὶ τὸ πνευ-

ματικὸν

ματικὸν δέ, ἄλλο τοιοῦτον. καὶ ἐκ τούτων εἰς ταῦτα μεταβάλλον. ἅλις τοῦ ἀθλίου βίου, καὶ γογγυσμοῦ, καὶ πιθηκισμοῦ. τί ταράσσῃ, τί τούτων καινὸν; τί σε ἐξίστησι; τὸ αἴτιον; ἴδε αὐτό. ἀλλ' ἡ ὕλη; ἴδε αὐτήν. ἔξω δὲ τούτων οὐδὲν ἐστὶν. ἀλλὰ καὶ πρὸς τοὺς θεοὺς ἤδη ποτὲ ἁπλούστερος καὶ χρηστότερος γενοῦ. ἴσον τὸ ἑκατὸν ἔτεσι, καὶ τὸ τρισὶ ταῦτα ἱστορῆσαι. εἰ μὲν ἥμαρτεν, ἐκεῖ τὸ κακὸν. τάχα δ' οὐχ ἥμαρτεν. Ἤτοι ἀφὸ μιᾶς πηγῆς νοερᾶς πάντα ὡς ἑνὶ σώματι ὑπισυμβαίνει καὶ οὐ δεῖ τὸ μέρος τοῖς ὑπὲρ τοῦ ὅλου γινομένοις μέμφεσθαι. ἢ ἄτομοι, καὶ οὐδὲν ἄλλο, ἢ κυκεὼν καὶ σκεδασμός. τί οὖν ταράσσῃ; τῷ ἡγεμονικῷ λέγεις, τέθνηκας; ἔφθαρσαι; ὑποκρίνῃ, συναγελάζει, βόσκῃ; ἤτοι οὐδὲν δύνανται οἱ θεοὶ ἢ θηρίωσαι, δύνανται. εἰ μὲν οὖν μὴ δύνανται, τί εὔχῃ; εἰ δὲ δύνανται, διὰ τὶ οὐχὶ μᾶλλον εὔχῃ, διδόναι αὐτοὺς, τὸ μήτε φοβεῖσθαί τι τούτων, μήτε ὑπιθυμεῖν τινὸς τούτων; μήτε λυπεῖσθαι ἐπί τινος τούτων, μᾶλλον τῷ μὴ πρεῖναι τι τούτων, ἢ τοῦ πρεῖναι. πάντως γὰρ εἰ δύνανται συνεργεῖν ἀνθρώποις, καὶ εἰς ταῦτα δύνανται συνεργεῖν. ἀλλὰ ἴσως ἐρεῖς, ὅτι ἐπ' ἐμοὶ αὐτὰ οἱ θεοὶ ἐποίησαν· εἶτα, οὐ κρεῖσσον χρῆσθαι τοῖς ὑπὶ σοὶ μετ' ἐλευθερίας, ἢ διαφέρεσθαι πρὸς τὰ μὴ ὑπὶ σοὶ μετὰ δουλείας ὡς τα-

πεινότητα; τίς δ' σοι εἶπεν, ὅπ οὐχὶ καὶ εἰς τὰ ἐφ' ἡμῖν οἱ θεοὶ συλλαμβάνουσιν. ἄρξαι γοῦν παρὰ τὴν εὔχεσθαι, καὶ ὄψῃ. ἔτερος εὔχεται πῶς κοιμηθῶ μετ' ἐκείνης· σὺ πῶς μὴ ἐπιθυμήσω τὸ κοιμηθῆναι μετ' ἐκείνης. ἄλλος, πῶς σε, κηθῶ ἐκείνου σὺ, πῶς μὴ χρήζω τὸ σεσηθῆναι. ἄλλος πῶς μὴ ἀφελάλφ δ' τηνίου σὺ, πῶς μὴ φοβηθῶ ἀφελαλεῖν ὅλφος ὧδε ἐπίτρεφον τὰς εὐχὰς, καὶ θεῶρῃ τι γίνεται. Ὁ Ἐπίκουρος λέγῃ, ὅπ ἐν τῇ νόσῳ δὲ ἦλθεν μοι αἱ ὁμιλίαι περὶ τὴν τῦ σώματος παθῶν, δὲ πρὸς τοὺς ἰατροὺς ἐισιόντας ἔιχε τὰ τι ναφησὶν ἐλάλουν, ἀλλὰ τὰ προηγούμενα φυσιολογῶν διετέλουν, καὶ πρὸς αὐτῷ τούτῳ ὤν, πῶς ἡ διάνοια συμμεταλαμβάνουσα τὴν ἐν τῇ σαρκιδίῳ τοιαύτην κινήσεων ἀταραξίαν, τὸ ἴδιον ἀγαθὸν τηρῶσα, δὲ τοῖς ἰατροῖς ἐμπεριεῖχεν φησὶ καταφρονεῖσθαι, ὡς τι ποιοῦσιν. ἀλλὰ ὁ βίος ἤρεσκε δὲ καὶ καλῶς. ταῦτα δὴν ἐκείνῳ ἐν νόσῳ ἐαν νοσῇς, καὶ ἐν ἄλλῃ τινὶ ποιήσεσθαι. τὸ μὴ ἀφίεσθαι φιλοσοφίας ἐν οἷς δήποτε τοῖς προσπίπτουσι, μηδὲ τῇ ἰδιώτῃ καὶ φυσιολόγῳ συμφλυαρεῖν, πάσης αἱρέσεως κοινὸν πρὸς μόνῳ τῷ νῦν πεπαιδευμένῳ εἶναι, καὶ τῇ ὀργάνῳ δι' ὃ πεπαίδευται. Ὅταί τινος ἀναιρῇ τὰ προσκόπτοντα, θύθὺς πυνθάνου σεαυτῷ· διὰ τίν ἐν τῇ κόσμῳ

νόμῳ ἀναίσχυντοι μὴ εἶναι; ἃ δύνανται. μὴ οὖν ἀπαίτει τὸ ἀδύνατον. εἰς γὰρ καὶ ὅτῳ ἐστὶν ἐκείνως τὴν ἀναισχύντην, ὡς ἀνάγκη αὐτὴν ζῆν νόμῳ. εἶναι τὸ δ' αὐτὸ καὶ ὠδὶ τὸ πανοῦργον, καὶ ἐπὶ τοῦ ἀπίστου, καὶ ὅσα τοῦτος τοῦ ὁποῦν ἁμαρτανόντῳ, ἔσω σοι πρόχειρον. ἅμα γὰρ ζῆν ἐνομοθετῆναι ὅτι τὸ μὲν τὴν τοιαύτην ἀδυνάτους ὄντι μὴ ὑπάρχειν, θυμικώτερον ἴσως πρὸς σὲ καθ' ἕνα. Εὐχρηστον δὲ καὶ ἐκεῖνο σοὶ δοῦναι νοεῖν, πῶς ἔδωκεν ἡ φύσις ζῆν ἀνθρώπῳ ἀρετὴν πρὸς οὗτον τὸ ἁμάρτημα. ἔδωκε γὰρ, ὡς ἀντιφάρμακον, πρὸς μὲν τὸν ἀγνώμονα τὴν πραότητα, πρὸς δὲ ἄλλον, ἄλλην τινὰ δύναμιν. ὅλως δὲ ἔξεστί σοι μετὰ διδάσκειν τὸν πεπλανημένον. πᾶς δὲ ὁ ἁμαρτάνων, ἀφαμαρτάνει τοῦ πεπαιδευμένου, καὶ πεπλάνηται. τί δὲ μὴ βέβλαφαι; εὑρήσεις γὰρ μηδὲν ἀτόπον πρὸς ὃν προῄει πεποιηκότα τὶ τοιοῦτον, οἷς ἡ διάνοιά σου χεῖρον ἔμελλε γενήσεσθαι. διὰ τί κακόν σου μὴ τὸ βλαβερὸν, ἀναπαύσασθαι τὴν ὑπόστασιν ἔχει. τί δὲ κακὸν ἢ ξένον γέγονεν, εἰ ὁ ἀπαίδευτος τὰ τοῦ ἀπαιδεύτου πράξει. ὅρα μὴ σαυτῷ μᾶλλον ἐγκαλεῖν ὀφείλῃς, ὅτι σὺ προσεδόκησας τοῦτον τοῦ ἁμαρτήσεσθαι. σὺ μὲν μὴ ἀφορμὰς ἐν τῷ λόγῳ εἶχες πρὸς τὸ ἀνθυμηθῆναι ὅτι εἰκὸς ὄντι οὗτον οὕτω ἁμαρτήσεσθαι. μὴ ὅμως ἐπλα-

θόμενος θαυμάζεις εἰ ἡμαρτηκε. Μαλιστα δὲ ὅταν ὡς ἀπίστῳ, ἢ ἀχαρίστῳ μέμφῃ, εἰς ἑαυτὸν ἐπιστρέφου. προδήλους γὰρ σὸν τὰ ἁμαρτήμα, εἴτε περὶ τοῦ τοιαύτην τὴν διάθεσιν ἔχοντος ἐπίστευσας, ὅτι τὴν πίστιν φυλάξει, εἴτε τὴν χάριν διδοὺς, μὴ καταληκτικῶς ἔδωκας, μηδὲ ὥστε ἐξ αὐτῆς τῆς σῆς πράξεως εὐθὺς ἀπειληφέναι πάντα τὸν καρπὸν. τί τὸν πλέον θέλεις εὖ ποιήσας ἄνθρωπον; οὐκ ἀρκεῖ σοι; κατὰ φύσιν τὴν σὴν τὶ ἔπραξας, τούτου μισθὸν ζητεῖς; ὡς εἰ ὁ ὀφθαλμὸς ἀμοιβὴν ἀπήτει, ὅτι βλέπει· ἢ οἱ πόδες, ὅτι βαδίζουσιν. ὥσπερ γὰρ ταῦτα πρὸς τὸ δέ τι γέγονεν, ἅπερ κατὰ τὴν ἰδίαν κατασκευὴν ἐνεργοῦντα ἀπέχει τὸ ἴδιον· οὕτως καὶ ὁ ἄνθρωπος εὐεργετικὸς πεφυκὼς, ὁπόταν τι εὐεργετικὸν, ἢ ἄλλως εἰς τὰ μέσα συνεργητικὸν πράξῃ, πεποίηκε πρὸς ὃ κατεσκεύασται, καὶ ἔχει τὰ ἑαυτοῦ.

ΜΑΡ-

ΜΑΡΚΟΥ ΑΝΤΩΝΙ-νου αὐτοκράτορος, τῶν εἰς ἑαυτὸν Βιβλίον ι.



Ἔσῃ ποτὲ ἆρ' ὦ ψυχὴ ἀγαθὴ, καὶ ἁπλῆ, καὶ μία, καὶ γυμνὴ, φανερωτέρα τοῦ περικειμένου σοι σώματος; γνώσῃ ποτὲ ἆρα τὸ φιλητικῆς καὶ στερητικῆς διαθέσεως; ἔσῃ ποτὲ ἆρα πλήρης καὶ αὐτάρκης, καὶ οὐδὲν ἐπιποθοῦσα οὐδὲ ἐπιθυμοῦσα οὐδενὸς, οὔτε ἐμψύχου οὔτε ἀψύχου πρὸς ἡδονὰς ἀφλαύσεις; οὐδὲ χρόνου ἐν ᾧ ἐπὶ μακρότερον ἀφλαύσεις; οὐδὲ τόπου, ἢ χώρας, ἢ ἀέρων δικαιείας· οὐδὲ ἀνθρώπων εὐαρμοσίας. ἀλλὰ ἀρκεσθήσῃ τῇ παρούσῃ κατασάσει, καὶ ἁδήσῃ τοῖς παροῦσι πᾶσι, καὶ συμπείσεις σεαυτῷ, ὅτι πάντα σοι πάρεστι, πάντα σοι δοῦ ἔχει. καὶ πρὸς τὴν θεὸν πάρεστι. καὶ δοῦ ἔξει ὅσα φίλον αὐτοῖς, καὶ ὅσα μέλλουσι δώσειν ἐπὶ σωτηρίᾳ τοῦ τελείου ζώου, τοῦ ἀγαθοῦ, καὶ δικαίου, καὶ καλοῦ, καὶ γεννῶντος πάντα καὶ συνέχοντος, καὶ περιέχοντος, καὶ περιλαμβάνοντος, διαλυόμενα εἰς γενέσιν ἑτέρων ὁμοίων. ἔσῃ ποτὲ ἆρα διαύτῃ, διὰ θεοῖς τε καὶ ἀνθρώποις οὕτω

συμπολιτεύεσθαι, ὡς μήτε μέμφεσθαί τι αὐτοῖς, μήτε καταγινώσκεσθαι ὑπ' αὐτῶν; παρατήρει τί σου ἡ φύσις ἐπιζητεῖ, ὡς ὑπὸ φύσεως μόνον διοικουμένου. εἶτα ποίει αὐτὸ καὶ προσίεσο, εἰ μὴ χεῖρον μέλλει διατίθεσθαί σου ἡ ὡς ζώου φύσις. ἑξῆς δὲ παρατηρητέον, τί ὑπιζητεῖ σου ἡ ὡς ζώου φύσις. καὶ πᾶν τοῦτο παραληπτέον, εἰ μὴ χεῖρον μέλλει διατίθεσθαι, ἡ ὡς ζώου λογικοῦ φύσις. ἔστι δὲ τὸ λογικὸν εὐθὺς καὶ πολιτικόν. τούτοις δὴ κανόσι χρώμενος μηδὲν περιεργάζου. Πᾶν τὸ συμβαῖνον, ἤτοι οὕτως συμβαίνει, ὡς πέφυκας αὐτὸ φέρειν, ἢ ὡς οὐ πέφυκας αὐτὸ φέρειν. εἰ μὲν οὖν συμβαίνει σοι ὡς πέφυκας φέρειν, μὴ δυσχέραινε· ἀλλ' ὡς πέφυκας φέρε. εἰ δὲ ὡς μὴ πέφυκας φέρειν, μὴ δυσχέραινε. φθαρήσεται γάρ σε ἀπαναλῶσαν. μέμνησο μέντοι ὅτι πέφυκας φέρειν πᾶν, περὶ οὗ τῇ ὑπολήψει ἐστὶ τῇ σῇ φορητὸν καὶ ἀνεκτὸν αὐτὸ ποιῆσαι, κατὰ φαντασίαν τοῦ συμφέρειν ἢ καθήκειν σεαυτῷ τοῦτο ποιεῖν. Εἰ μὲν σφάλλεται, διδάσκειν εὐμενῶς, καὶ τὸ παρορώμενον δεικνῦναι. εἰ δὲ ἀδυνατεῖς, σεαυτὸν αἰτιᾶσθαι, ἢ μηδὲ σεαυτόν. Ὅ, τι ἂν σοι συμβαίνῃ, τοῦτό σοι ἐξ αἰῶνος προκατεσκευάζετο, καὶ ἡ ὑπιπλοκὴ τῶν αἰτίων συνέκλωθε, τήν τε σὺν ὑπόστασιν ἐξ ἀϊδίου, καὶ τὴν τούτου σύμβασιν· Εἴ τε ἄτομοι, εἴτε φύσεις, πρῶτον

τὸν κείσθω ὅτι μέρος εἰμὶ τοῦ ὅλου ὑπὸ φύσεως διοικουμένου. ἔπειτα, ὅτι ἔχω πως οἰκείως πρὸς τὰ ὁμογενῆ μέρη. τοῦτον γὰρ μεμνημένος, καθότι μὲν μέρος εἰμὶ, οὐδὲν δυσαρεστήσω τὴν ἐκ τοῦ ὅλου ἀπονεμομένων. οὐδὲν γὰρ βλαβερὸν τῷ μέρει, ὃ τῷ ὅλῳ συμφέρει. οὐ γὰρ ἔχει τί τὸ ὅλον, ὃ μὴ συμφέρει ἑαυτῷ. πασῶν μὲν φύσεων κοινὸν ἐχουσῶν τοῦτο· τῆς δὲ τοῦ κόσμου προσειληφυίας, τὸ μηδὲ ὑπότινος ἔξωθεν αἰτίας ἀναγκάζεσθαι βλαβερόν τι ἑαυτῇ γεννᾷν. κατὰ μὲν δὴ τὸ μεμνῆσθαι ὅτι μέρος εἰμὶ ὅλου τοῦ τοιούτου, εὐαρεστήσω παντὶ τῷ ἀπαίνοντι, καθότον δὲ ἔχω πως οἰκείως πρὸς τὰ ὁμογενῆ μέρη, οὐδὲν πράξω ἀκοινώνητον· μᾶλλον δὲ στοχάσομαι τῶν ὁμογενῶν, καὶ πρὸς τὸ κοινῇ συμφέρον πᾶσαν ὁρμὴν ἐμαυτοῦ ἄξω, καὶ ἀπὸ τοὐναντίου ἀπάξω. Τούτων δὲ οὕτω περαινομένων, ἀναγκη τὸν βίον εὐροεῖν· ὡς ἂν καὶ πολίτου βίον εὔρουν εὐθινοήσειας προϊόντος διὰ πράξεων τοῖς πολίταις λυσιτελοῦν, καὶ ὅπερ ἂν ἡ πόλις ἀπονέμῃ τοῦτο ἀσπαζομένου. Τοῖς μέρεσι τοῦ ὅλου, ὅσα φημὶ περιέχεται ὑπὸ τοῦ κόσμου, ἀναγκη φθείρεσθαι. λεγέσθω δὲ τοῦτο σημαντικῶς τοῦ ἀλλοιοῦσθαι. εἰ δὲ φημὶ κακόν τε, καὶ ἀναγκαῖόν ἐστι τοῦτο αὐτοῖς, οὐκ ἂν τὸ ὅλη καλῶς διεξάγοιτο, τῶν μερῶν εἰς ἀλλοτρίωσιν ὄντων, καὶ πρὸς

τὸ φθείρεσθαι διαφόρως κατεσκευασμένων. πότερον γὰρ ἐπεχείρησεν ἡ φύσις αὐτὴ τὰ ἑαυτῆς μέρη κακοῦν, καὶ περιπτωτικὰ τῷ κακῷ, καὶ ἐξ ἀνάγκης ἔμπτωτα εἰς τὸ κακὸν ποιεῖν, ἢ ἔλαθεν αὐτὴν τοιάδε τινα γενόμενα; ἀμφότερα γε ἀπίθανα. εἰ δέ τις καὶ ἀφέμενος τῆς φύσεως, κατὰ τὸ πεφυκέναι ταῦτα ἐξηγοῖτο, καὶ ὡς γελοῖον, ἅμα μὲν φᾶναι πεφυκέναι τὰ μέρη τοῦ ὅλου μεταβάλλειν, ἅμα δὲ ὡς ἐπί τινι τῶν παρὰ φύσιν συμβαίνοντι θαυμαίζειν, ἢ δυσχεραίνειν· ἄλλος τε καὶ τῆς διαλύσεως εἰς ταῦτα γινομένης, ἐξ ὧν ἕκαστον συνίσταται. ἤ τοι γὰρ σκεδασμὸς στοιχείων ἐξ ὧν συνεκρίθη, ἢ τροπή, τοῦ μὲν στερεμνίου εἰς τὸ γεῶδες· τοῦ δὲ πνευματικοῦ, εἰς τὸ ἀερῶδες. ὥστε καὶ ταῦτα ἀναληφθῆναι εἰς τὸν τοῦ ὅλου λόγον, εἴτε κατὰ περίοδον ἐκπυρουμένου, εἴτε ἀϊδίοις ἀμοιβαῖς ἀνανεουμένου. καὶ τὸ στερέμνιον δὲ, καὶ τὸ πνευματικὸν μὴ φαντάζου τὰ ἀπὸ τῆς γενέσεως. πᾶν γὰρ οὗτο ἐχθὲς, καὶ τρίτην ἡμέραν, ἐκ τῶν σιτίων καὶ ἑλκομένου ἀέρος τὴν ὑπόρροιν ἔλαβεν. οὗτο οὖν ὃ ἔλαβε, μεταβάλλει, οὐχ ὃ ἡ μήτηρ ἔτεκεν· ὑπόθου δ' ὅτι ἐκεῖνό σε λίαν προσπλέκει τῷ ἰδίως ποιῷ, οὐδὲν ὄντι οἶμαι πρὸς τὸ νῦν λεγόμενον. ὀνόματα θέμενος σαυτῷ ταῦτα, ἀγαθὸς, αἰδήμων, ἀληθὴς, ἔμφρων, σύμφρων, ὑπέρ-

φρων,

φρων, πρόσεχε μήποτε μετονομάζη, καὶ ἀχρλ-
λύεις ταῦτα τὰ ὀνόματα. καὶ ταχέως ἐπανίε
ἐπ' αὐτὰ. μέμνησο δὲ, ὅτι τὸ μὲν ἔμφρον, ἐβούλε-
τό σοι σημαίνειν τὴν ἐφ' ἕκαστα διαληπτικὴν ἐ-
πίστασιν, καὶ τὸ ἀπρενθύμητον. τὸ δὲ σύμφρον,
τὴν ἑκούσιον ἀπόδεξιν τῶν ὑπὸ τῆς κοινῆς φύ-
σεως ἀχρνεμομένων. τὸ δὲ ὑπέρφρον, τὴν ὑ-
πέρτασιν τοῦ φρονοῦντος μορίου ὑπὲρ λείαν
ἢ τραχεῖαν κίνησιν τῆς σαρκὸς, καὶ τὸ δοξαρίον,
καὶ τὸν θάνατον καὶ ὅσα τοιαῦτα. ἐὰν οὖν δια-
τηρεῖς σεαυτὸν ἐν τούτοις τοῖς ὀνόμασι, μὴ ὀλιχό-
μενος τοῦ ὑπ' ἄλλων κατὰ ταῦτα ὀνομαζεσθαι, ἔσῃ
ἕτερος. καὶ εἰς βίον εἰσελεύσῃ ἕτερον. τὸ γὰρ ἔτι τοιοῦ-
τον εἶναι οἷος μέχρι νῦν γέγονας, καὶ ἐν βίῳ τοιούτῳ
παράσσεσθαι καὶ μολύνεσθαι, λίαν ἐστὶν ἀναισθήτου
καὶ φιλοψύχου, καὶ ὁμοίου τοῖς ἡμιβρώτοις θη-
ριομάχοις· οἵτινες μεστοὶ τραυμάτων καὶ λύθρου,
παρακαλοῦσιν ὅμως εἰς τὴν αὔριον φυλαχθῆναι,
παραβληθησόμενοι τοιοῦτοι· τοῖς αὐτοῖς ὄνυξι καὶ
δήγμασιν. Ἐμβίβασον οὖν σαυτὸν εἰς τὰ ὀλίγα
ταῦτα ὀνόματα. κἂν μὲν ἐπ' αὐτῶν μένειν δύνῃ,
μένε ὥσπερ εἰς μακαρῶν τινὰς νήσους μετῳκισ-
μένος. ἐὰν δὲ αἴσθῃ ὅτι ἐκπίπτεις, καὶ οὐ περικρα-
τεῖς, ἄπιθι θαρρῶν εἰς χωρίαν τινὰ, ὅπου κρατή-
σεις, ἢ καὶ παντάπασιν ἔξιθι τοῦ βίου, μὴ ὀργιζόμε-
νος, ἀλλὰ ἁπλῶς καὶ ἐλευθέρως, καὶ αἰδημόνως.

σὺ γε οὗτος μόνον πλάξας σὺ τῷ βίῳ, τὸ ὅτως ὑγιὲς θεῖν. Πρὸς μὲν τοι τὸ μεμνῆσθαι τὸ ὀνόματος, μεγάλως συλλήψεταί σοι, τὸ μεμνῆσθαι θεῶν καὶ ὅπως βούλεσθαι ὅτοι θέλουσιν, ἀλλὰ ὑγρομοιοῦσθαι ἑαυτοῖς τὰ λογικὰ πάντα. Ὁ δὲ τὴν μὲν συκῆν τὰ συκῆς ποιοῦσαν· τὸν δὲ κύνα, τὰ κυνός. τὴν δὲ μέλισσαν, τὰ μελίσσης. τὸν δὲ ἄνθρωπον, τὰ ἀνθρώπου. Μὴ θαύμαζε πόλεμος, πρόοδος, νάρκη, δουλεία, καθ' ἡμέραν ἀπαλείφεταί σου τὰ ἱερὰ ἐκεῖνα δόγματα, ὁπόσα ὁ φυσιολόγος φαντάζεται μὴ παρεμπίπτειν. δεῖ δὲ πάντα ὅτω βλέπειν μὴ πλάσσῃ, ὥστε μὴ τὸ πολιτικὸν ἅμα συντελεῖσθαι, μὴ ἅμα τὸ θεωρητικὸν ἀνεργεῖσθαι. μὴ τὸ ἐν τῷ πολὺ ἑκάστων ἰδιώτημα αὐθαδες σώζεσθαι λανθάνον, ἀλλὰ κρυπτόμενον. πότε μὲ ἀπολύτησος ἀπολαύσεις, ποτὲ δὲ σεμνότητος, ποτὲ δὲ τὸ ἐφ' ἑκάστου γνωρίσεως, τί τέ ἐστιν κατ' οὐσίαν μὴ τίνα χώραν ἔχει ἐν τῷ κόσμῳ, μὴ ἐπὶ πόσον χρόνον φύσιν ὑφίσασθαι μὴ ἐπὶ τίνων συγκρίνεσθαι, μὴ τίσι δυνάσθαι ὑπάρχειν, μὴ τίνες δυνάσθαι αὐτὸ δίδοναί τε καὶ ἀφαιρεῖσθαι. ἀρχαῖον μῆχανή ἐστιν μεγαφρονεῖν, ἄλλος δὲ λαγνίου, ἄλλος δὲ ὑποχῆς ἀφύλου, ἄλλος δὲ σιδίτια· ἄλλος δὲ ἀρκτᾶς· ἄλλος Σαρμάτας. ὅτου δὲ λήσαι; ἐὰν τὰ δόγματα ὑπερβάλλῃς, πῶς εἰς ἄλλα πάντα μεταβαλλῃ, θεωρητικὸν μεθοδον κτήσαι. καὶ δυνατὸν πρόσεχε, καὶ

συγγυμνά

συγγυμνάσθητι περὶ τοῦτο τὸ μέρος. οὐδὲν γὰρ οὕτω μεγαλοφροσύνης ποιητικόν. ἐξεδύσατο τὸ σῶμα. καὶ ἐννοήσας, ὅτι ὅσον οὐδέπω πάντα ταῦτα καταλιπεῖν ἀπιόντα ἐξ ἀνθρώπων δεήσει, ἀνῆκεν ὅλον ἑαυτὸν, δικαιοσύνῃ μὲν εἰς τὰ ὑφ' ἑαυτοῦ ἐνεργούμενα, ἐν δὲ τοῖς ἄλλοις συμβαίνουσι, τῇ τῶν ὅλων φύσει. τί δ' ἐρεῖ τις ἢ ὑπολήψεται περὶ αὐτοῦ, ἢ πράξει κατ' αὐτοῦ, οὐδ' εἰς νοῦν βάλλεται. δύο τούτοις ἀρκούμενος αὐτὸς, δικαιοπραγεῖν τὸ νῦν πρασσόμενον, καὶ φιλεῖν τὸ νῦν ἀρνεμόμενον ἑαυτῷ. ἀσχολίας δὲ πάσας καὶ σπουδὰς ἀφῆκεν. καὶ οὐδὲν ἄλλο βούλεται, ἢ εὐθεῖαν περαίνειν διὰ τοῦ νόμου, καὶ εὐθεῖαν περαίνοντι ἕπεσθαι τῷ θεῷ. Τίς ὑπονοίας χρεία, πρὸν σκοπεῖν τί δεῖ πραχθῆναι. κἂν μὲν συνορᾶς εὐμενῶς, ἀμεταστρεπτὶ ταύτῃ χωρεῖν. ἐὰν δὲ μὴ συνορᾷς, ἐπέχειν, καὶ συμβούλοις τοῖς ἀρίστοις χρῆσθαι. ἐὰν δὲ ἕτερά τινα πρὸς ταῦτα ἀντιβαίνῃ, προϊέναι κατὰ τὰς παρούσας ἀφορμὰς λελογισμένως, ἐχόμενον τοῦ φαινομένου δικαίου. ἄριστον γὰρ κατατυγχάνειν τούτου. ἐπεί τοι ἥγε ἀπόπτωσις ἀπὸ τούτου. ἔστω, σχολαῖόν τι καὶ ἅμα εὐκίνητόν ἐστι, καὶ φαιδρὸν ἅμα, καὶ συνεστηκὸς ὁ τῷδε λόγῳ κατὰ πᾶν ἑπόμενος. Γυνθάνεσθαι ἑαυτοῦ, εὐθὺς ἐξ ὕπνου γινόμενος, μήτι διοίσει σοι,

ἐὰν

ἐαν ὑπὸ ἄλλου γένηται τὰ δίκαια ἢ καλῶς ἔχοντα; οὐ δοίσει. μὴ πω ἐνδιέλεηθαι, ὅτι οἱ ἐν τοῖς ὑπὲρ ἄλλων ἐπαίνοις ἢ ψόγοις φρυαττόμενοι, τοιοῦτοι μὲν ἐνδὺ τῆς κλίνης εἰσὶ, τοιοῦτοι δὲ ἐνδὺ τῆς τραπέζης, οἷα δὲ ποιοῦσιν, οἷα δὲ φεύγουσιν, οἷα δὲ διώκουσιν, οἷα δὲ κλέπτουσιν, οἷα δὲ ἁρπάζουσιν, οὐ χερσὶ καὶ ποσὶν, ἀλλὰ τῷ ἐμιωτάτῳ ἑαυτῶν μέρει, ᾧ γίνεται ὅταν θέλῃ, πίστις, αἰδὼς, ἀλήθεια, νόμος, ἀγαθὸς δαίμων. Τῇ πάντα διδούσῃ καὶ ἀφαιρουμένῃ φύσει, ὁ πεπαιδευμένῳ καὶ αἰδήμονι λέγει· δὸς ὃ θέλεις, ἀπόλαβε ὃ θέλῃς. λέγω δὲ τοῦτο οὐ καταθραυομένῳ, ἀλλὰ πειθαρχοῦντι μόνον καὶ δύνασθαι αὐτῇ. ὀλίγον ὄντι τὸ ὑπολῃστόμενον τοῦτο. ζῆσον ὡς ἂν ὄρει. ὀδὲν γὰρ διαφέρῃ ἐκεῖ ἢ ὧδε ἐάν τις πάντα χοῦ ὡς ἂν πόλει τῷ κόσμῳ. ἰδέτωσαν, ἱστορησάτωσαν οἱ ἄνθρωποι, ἄνθρωπον ἀληθινὸν κατὰ φύσιν ζῶντα. εἰ μὴ φέρουσιν, ἀφικτεινάτωσαν. κρεῖττον γὰρ ἢ οὕτω ζῆν. Μηκέτ' ὄλως περὶ τοῦ οἷόν τινα εἶναι τὸν ἀγαθὸν ἄνδρα διαλέγεσθαι· ἀλλὰ εἶναι ποιοῦν. Τοῦ ὅλου αἰῶνος, καὶ τῆς ὅλης οὐσίας χωρὶς φαντασία. καὶ ὅτι πάντα τὰ κατὰ μέρος, ὡς πρὸς οὐσίαν καγχαμίς· ὡς δὲ πρὸς χρόνον, τρυπανοῦ περιστροφή. Εἰς ἕκαστον τὴν ὑποκειμένων ἐφιστάντα, ἐνδυνοεῖν αὐτὸ ἤδη διαλυόμενον,

νον, καὶ ἐν μεταβολῇ καὶ οἷον σήψει ἢ σκεδάσει γινόμενον. ἢ καθότι ἕκαστον πέφυκεν ὥσπερ θνήσκειν· Οἷοί εἰσιν, ἐσθίοντες, καθεύδοντες, ὀχεύοντες, ἀρπατοῦντες, τὰ ἄλλα, εἶτα οἷοι ἀνδρονομούμενοι, καὶ γαυρούμενοι, ἢ χαλεπαίνοντες, καὶ ἐξ ὑπεροχῆς ἰσθι πλίπτοντες· προλίγου δὲ ἐδούλευον πόσοις, καὶ δι' οἷα. καὶ μετ' ὀλίγον, ἐν τοιούτοις ἔσονται. Συμφέρει ἑκάστῳ, ὃ φέρει ἑκάστῳ ἡ τῶν ὅλων φύσις. καὶ τότε συμφέρει, ὅτε ἐκείνη φέρει. ἐρᾷ μὲν ὄμβρου γαῖα· ἐρᾷ δὲ ὁ σεμνὸς αἰθήρ· ἐρᾷ δὲ ὁ κόσμος ποιῆσαι ὃ ἂν μέλλῃ γίνεσθαι. λέγω οὖν τῷ κόσμῳ ὅτι σοι συνερῶ. μήτι δ' οὕτω κἀκεῖνο γίνεται καὶ λέγεται, ὅτι φιλεῖ τοῦτο γίνεσθαι. ἤτοι ἐν ταῦθα ζῆς, καὶ ἤδη εἴθικας, ἢ ἔξω ὑπάγεις, καὶ τοῦτο ἤθελες. ἢ ἀρθνήσκεις, καὶ ἀπελειτούργησας. πρὰ δὲ ταῦτα οὐδὲν. οὐκοῦν εὐθύμει. ἐναργὲς ἔσω ἀεὶ, τὸ ὅτι τοιοῦτο ἐκεῖνο ὁ ἀγρός ἐστι. καὶ πῶς πάντα ἐστὶ τἀυτὰ ἐνθά δε τοῖς ἐν ἄκρῳ τῷ ὄρει, ἢ ἰσθὶ τοῦ αἰγιαλοῦ, ἢ ὅπου θέλεις. ἀντίκρυς γὰρ εὑρήσεις τὰ τοῦ Πλάτωνος, σηκὸν ἐν ὄρει φησὶ περιβαλλόμενος, καὶ βάλλειν βλήματα. Τί ἐστί μοι τὸ ἡγεμονικόν μου. καὶ ποῖόν τι ἐγὼ αὐτὸ ποιῶ νῦν, καὶ πρὸς τί ποτε αὐτῷ νῦν χρῶμαι; μήτι κενὸν νοῦ ἐστι; μήτι ἀπόλυτον καὶ ἀπεσπασμένον κοινωνίας; μήτι πρὸς τετηκὸς καὶ

ἀνακε-

ἀνακεκραμμένον τῷ σαρκιδίῳ, ὥστε τοῦτο σωτρέωεσθαι. Ὁ δὲ νύσιον φοβούμενος, ῥαιδίως. νύσιος ἡ νόμος· ὁ δὲ πρανομῶν, ῥαιδίως. ἅμα δὲ ὁ λυπούμενος ἢ ὀργιζόμενος ἢ φοβούμενος ὁ βούλεταί τι γεγονέναι, ἢ γίνεσθαι, ἢ γενέσθαι, τὴν αὐτὸ τοῦτο τὰ αὐτὰ διοικοῦντος τὰ γιγνόμενα, ὅς ὅτι νόμος. νέμων, ὅσα ἐκάστῳ ἐπιβάλλει. ὁ ἄρα φοβούμενος, ἢ λυπούμενος, ἢ ὀργιζόμενος, ῥαιδίως.

Σπέρμα εἰς μήτραν ἀφεὶς ἀπεχώρησε, καὶ λοιπὸν ἄλλη αἰτία παραλαβοῦσα ἐργάζεται, καὶ ἀρτελεῖ βρέφος. ἐξ οἵου, οἷον. πάλιν τροφὴν λαβὼν φάρυγγος ἀφῆκε, καὶ λοιπὸν ἄλλη αἰτία παραλαβοῦσα αἰσθησιν, καὶ ὁρμὴν, καὶ δι' ὅλου ζωὴν καὶ ῥώμην, καὶ ἄλλα ὅσα καὶ οἷα ποιεῖ. ταῦτα δὴ τὰ οὕτω ποικίλα ἐγκαλύψει γινόμενα θεωρεῖν. καὶ πῶς δύναμιν ὄντως ὁρᾷν, ὡς καὶ πῶς βαίνουσαν, καὶ τὴν ἀναφερῆ ὁρᾶσθαι, ἀλλὰ τοῖς ὀφθαλμοῖς, δηλαδὴ ἀφ' ἧπερ ἀναφανῆς. Συνεχῶς ἐνθυμεῖσθαι, πῶς πάντα τοιαῦτα ὁποῖα νῦν γίνεται, καὶ πρόσθεν ἐγίνετο, καὶ ἐνθυμεῖσθαι γενησόμενα, καὶ ὅλα σχήματα καὶ σκηνὰς ὁμοειδεῖς, ὅσα ἐν πείρᾳ τῆς ὅης, ἢ τῆς πρεσβυτάτης ἱστορίας ἔγνως, πρὸ ὀμμάτων τίθεσθαι. οἷον αὐλὴν ὅλην Ἁδριανοῦ, καὶ αὐλὴν ὅλην Ἀντωνίνου, καὶ αὐλὴν

ὅλην

ὅλων φιλίππων, Ἀλεξάνδρων, Κροίσων, πάντα γὰρ ἐκεῖνα τοιαῦτα ἦν. μόνον δι' ἑτέρων φαντάζων πάντα τὸν ἐφ' ὑπνίων λυπούμενον, ἢ δυσαρεστοῦντα, ὅμοιον τῷ θυμοῦντι χολιδίῳ, ἢ ἀχαλακτίζοντι καὶ κεκραγότι. ὅμοιον ἢ δοιμώζοντι ἐπὶ κλινιδίου μόνου σιωπῇ τῶν ἔνδοθεν ἡμῶν, καὶ ὅτι μόνῳ τῷ λογικῷ ζώῳ δέδοται, δικαίως εἰσιέναι τοῖς νομίμοις. τὸ δὲ εἰσιέναι φιλοῦσιν ἀναγκαῖον. καὶ μέρος ἐφ' ἑκάστου ὧν ποιεῖς εἰσιόντων, ἐρώτα σεαυτόν, εἰ ὁ θάνατος δεινὸς διὰ τοῦτο φεύγεται. ὅταν προσκόπτῃς ἐπί τινος ἁμαρτίᾳ, οὐδὲν μεταξὺ ἐπιλογίζου τί πρόσφορον ἁμαρτάνεις. οἷον ἀργύριον. ἀγαθὸν εἶναι κείνων, τὴν ἡδονήν, ἢ τὸ δικαίως. ἢ κατ' εἶδος. τοῦτο δὲ ἐπιβάλλων τὰ χείρω ἐπιλήσῃ τοῦ ὀργίζεσθαι, συμπίπτοντος τοῦ ὅτι βιάζεσθαι. τί οὖν ποιήσει; ἢ ἀνώδυνα, ἄφελε αὐτοῦ τὸ διαζόμενον. σαῦρον ἰδών, σωκράτειον φαντάζου ἢ Εὐτυχοῦν, ἢ γύμνα. καὶ ἐνφράτου ἰδών, Εὐτυχοῦντα, ἢ Σιλουανόν φαντάζου. ἢ Ἀλκιφρονα, ζοπυροφόρον φαντάζου. ἢ Ξενοφῶντα ἰδών, Κείτωνα ἢ Σθένηρον φαντάζου. ἢ ἂν ἐκεῖ ἀπιδών τοὺς Καισάρων τινὰ φαντάζου, ἢ ἐφ' ἑκάστου ἀνάλογον. εἶτα συμπαθῶν πέπτωκε. πῶς δὴ ἐκεῖνοι; ὀδαμοῦ. ἢ οὐδού. οὕτως καὶ συνεχῶς θεώρει τὰ ἀνθρώπινα, καπνόν, καὶ οὐδέν. μάλιστα ἐὰν συμμνημονεύσῃς, ὅτι καὶ

ἅπαξ

ἅπαξ μεταβαλὼν οὐκέτι ἔσαι οὐδ' ἀπείρῳ χρόνῳ. σὺ δὲ οὐ τίνι; τί δ' οὐκ ἀρκεῖ σοι δι' βραχὺ ζῆν κοσμίως διαπράξασθαι; ὅταν ὕλῃ καὶ ὑπόθεσιν φεύγεις; τί γὰρ ὄντα πάντα ταῦτα ἄλλο, πλὴν γυμνάσματα λόγου ἑωρακότι ἀκριβῶς καὶ φυσιολόγῳ τὰ οὐδὲ βίῳ; μὴ ἀθυμεῖν, μέχρι ἐξοικειώσῃς σαυτῷ καὶ ταῦτα· ὡς ἐρρωμένος τόμαχος πάντα ὑποικεῖ, ὡς τὸ λαμπρὸν πῦρ, ὅταν ἐπιβάλῃς, φλόγα ὑποποιεῖ καὶ αὐγὴν ποιεῖ. Μηδενὶ ὑποσχέσῃ εἰπεῖν ἀληθινὸν πρᾴως, ὅπως οὐχ ἁπλοῦς, ἢ ὅπως οὐκ ἀγαθός· ἀλλὰ φυλάσσεσθω, ὅστις τοῦτόν πως ἐπιβουλεύσεται. πᾶν γὰρ ζῷον ἴδιον σοί. τίς γὰρ ὁ κωλύων ἀγαθὸν εἶναι ἢ ἁπλοῦν; σὺ μόνον κρῖνον μηκέτι ζῆν, εἰ μὴ τοιοῦτος ἔσῃ. ὐδὲ γὰρ αἱρεῖ λόγος μὴ ζῆν τοιοῦτον ὄντα. Τί ἐστὶ τὸ ἴδιον τούτης τῆς ὕλης δυνάμενον καὶ τὸ ὑγιέστατον πραχθῆναι, ἢ ῥηθῆναι; ὅπως γὰρ ἂν ζῷον ᾖ, ἔξεστιν αὐτὸ πρᾶξαι ἢ εἰπεῖν. μὴ μὲν προφασίζου, ὡς κωλυόμενος τὸ πρότερον πάντοτε πενῶν, πλὴν ἢ ζῷον πάθῃς. Ὅπερ οἷον ἐστὶ ζῶις ἄδυνατεῖν ἢ πυρφὴ, τοῦτό σοι τὸ ἐπὶ τῆς ἐπιβαλλομένης ὑποπιπτούσης ὕλης ποιεῖν τὰ οἰκεῖα τῇ τοῦ ἀνθρώπου κατασκευῇ. ἀπόλαυσιν γὰρ δεῖ ἐπιλαμβάνειν, πᾶν ὃ ἔξεστι καὶ πλὴν ἰδίαν φύσιν ἐνεργεῖν. πάντα χοῦ δὲ ἔξεστι. ζῷ· μὴν δὲ κυλίνδῃ, οὐ πάντα χοῦ ῥίπτεται

φέρεται

φέρεσθαι τὴν ἰδίαν κίνησιν· οὐδὲ τοῦ ὕδατι, οὐδὲ πυρὶ, οὐδὲ τοῖς ἄλλοις ὅσα ὑπὸ φύσεως ἢ ψυχῆς ἀλόγου διοικεῖται· τὰ γὰρ διείργοντα καὶ ἐνιστάμενα πολλά. Νοῦς δὲ καὶ λόγος διὰ παντὸς τοῦ ἀντιπίπτοντος οὕτως πορεύεσθαι δύναται, ὡς πέφυκε, καὶ ὡς θέλει. ταύτην τὴν ῥαστώνην πρὸ ὀμμάτων τιθέμενος καθ' ἣν ἐνεχθήσεται ὁ λόγος διὰ πάντων. ὡς πῦρ ἄνω, ὡς λίθος κάτω, ὡς κύλινδρος κατὰ πρανοῦς, μηκέτι μηδὲν ἐνδιζήτει. τὰ γὰρ λοιπὰ ἐγκόμματα ἤτοι τοῦ σωματικοῦ ἐστι τοῦ νεκροῦ, ἢ χωρὶς ὑπολήψεως, καὶ τῆς αὐτοῦ τοῦ λόγου ἐνδόσεως, οὐ θράυει, οὐδὲ ποιεῖ κακὸν οὐδοτιοῦν· ἐπείτοι δὲ ὁ πάσχων αὐτὸ, κακὸς ἂν εὐθὺς ἐγένετο. Ὃ γοῦν τῶν ἄλλων κατασκευασμάτων πάντων ὅτι ἂν κακόν τινι αὐτῶν συμβῇ, παρὰ τοῦτο χεῖρον γίνεται αὐτὸ τὸ πάσχον· ἐν ταῦθα δὲ εἰ δεῖ εἰπεῖν, ὃ κρείττων γίνεται ὁ ἄνθρωπος, καὶ ἐπαινετώτερος, ὀρθῶς χρώμενος τοῖς προσπίπτουσιν. ὅλως δὲ μέμνησο, ὅτι τὸν φύσει πολίτην οὐδὲν βλάπτει, ὃ πόλιν οὐ βλάπτει· οὐδέγε πόλιν βλάπτει, ὃ νόμον οὐ βλάπτει· τοῦτον δὲ τῶν καλουμένων ἀκληρημάτων οὐδὲν βλάπτει νόμον. ὃ τοίνυν νόμον οὐ βλάπτει, οὔτε πόλιν, οὔτε πολίτην. Τῷ δεδειγμένῳ ὑπὸ τῶν ἀληθῶν δογμάτων, ἀρκεῖ καὶ τὸ βραχύτατον, καὶ ἐν μέσῳ κείμενον

εἰς ὑπόμνησιν ἀλυπίας ἢ ἀφοβίας. οἷον, φύλλα τὰ μὲν τ' ἄνεμος χαμάδις χέει, ἄλλα δέ θ' ὕλη τηλεθόωσα φύει, ἔαρος δ' ἐνιγίγνεται ὥρη· ὡς ἀνδρῶν γενεή, ἡ μὲν φύει, ἣδ' ἀπολήγει.

Φύλλάριον ἴσθι τὰ τέκνια σου· φυλλάρια ἴσθι καὶ ταῦτα τὰ ἐνθουσιῶντα ἀξιοπίστως, καὶ ἐνθυμηθῆναι τὰ· ἢ ἐπὶ τῷ ἀναπίπτοντι καὶ τὰ ῥώμενα, ἢ ὑσυχῇ φέροντα, ἢ χλιαλιοῦντα. φυλλάρια δὲ ὁμοίως, καὶ τὰ ὀλίγα δεξόμενα τὴν ὑστεροφημίαν. πάντα δὲ ταῦτα ἔαρος ἐνιγίνεται ὥρη, ἕως τε ἀνέμου καταβέλλει, ἔπειτ' ἡ ὕλη ἕτερα ἀντὶ τούτων φύει. ἔστι δὲ ὀλιγοχρόνιον κοινὸν πᾶσιν· ἀλλὰ σὺ πάντα ὡς αἰώνια ἐσόμενα φεύγε, καὶ διώκε, μικρὸν δὲ καταμύσεις. τὸν δὲ ἐξενεγκόντα σε ἤδη, ἄλλον θρηνήσει. Τὸν ὑγιαίνοντα ὀφθαλμὸν πάντα ὁρᾶν δεῖ τὰ ὁρατά, καὶ μὴ λέγειν, τὰ χλωρὰ θέλω· οἷόν ἐστιν ὀφθαλμιῶντος ὑγιαίνειν ἀκοὴν, καὶ ὄσφρησιν εἰς πάντα δεῖ τὰ ἀκουστὰ καὶ ὀσφραντὰ ἑτοίμως ἔχειν. καὶ τὴν ὑγιαίνουσαν γνώμην πρὸς πάντα πρόσφορα ὁμοίως ἔχειν. ὡς μύλλῳ πρὸς πάντα ὅσα ἀλέουσα καταπονεῖται. καὶ τοίνυν τὴν ὑγιαίνουσαν διάνοιαν πρὸς πάντα δεῖ τὰ συμβαίνοντα ἕτοίμως ἔχειν. ἡ δὲ λέγουσα τὰ τέκνια σωζέσθω, καὶ πάντων ὧν, πάντως πράξω ἐπαινείτω, ὀφθαλμὸς ὅστις τὰ χλωρὰ ζητῶν, ἢ ὀδόντες τὰ ἄπαλά. οὐδεὶς ὅστις οὕτως ἀπότομος ὡς ἀπροθυμήσεσθαι ὑπὸ προσήκοντός τινος

ἀπαζόμενοι τὸ συμβαῖνον κακόν. σπουδαῖος
καὶ σοφὸς ἦν, μὴ τὸ πανύστατον ἔσται τὶς ὁ καθ'
αὐτὸν λέγων, ἀναπνεύσω μέν ποτε ἀπὸ τούτου
τοῦ παιδαγωγοῦ. χαλεπὸς μὲν οὐδενὶ ἡμῶν
ἦν· ἀλλὰ ἠσθανόμην ὅτι ἡσυχῇ καταγινώσκει
ἡμῶν. ταῦτα μὲν οὖν ὑπὲρ τοῦ σπουδαίου. ἐφ'
ἡμῶν δὲ πόσα ἄλλα ἐστὶ δι' ἃ πολύς ὁ ἀπαλ-
λακτιῶν ἡμῶν. τοῦτο οὖν ἐννοήσεις ἀπρεθνήσκων, καὶ
εὐκολώτερον ἐξελεύσῃ, λογιζόμενος, ἐκ τοιού-
του βίου ἀπέρχομαι, ἐν ᾧ αὐτοὶ οἱ κοινωνοί, ὑπὲρ
ὧν τὰ τοσαῦτα ἠγωνισάμην, ἠυξάμην, ἐφρόν-
τισα, αὐτοὶ ἐκεῖνοι ἐθέλουσί με ὑπάγειν, ἄλ-
λην τινὰ τυχὸν ἐκ τούτου ῥαστώνην ἐλπίζοντες.
τί ἂν οὖν τις ἀντέχοιτο τῆς ἐνταῦθα μακροτέρας
διατριβῆς. Μὴ μέντοι διὰ τοῦτο ἔλαττον εὐμενὴς
αὐτοῖς ἄπιθι, ἀλλὰ τὸ ἴδιον ἔθος διασώζων, φί-
λος, καὶ εὔνους, καὶ ἵλεως, καὶ μὴ πάλιν ὡς ἀπρεπώ-
μενος. ἀλλ' ὥσπερ τῶν τοῦ εὐθανατοῦντος, εὐκό-
λως τὸ ψυχάριον ἀπὸ τοῦ σώματος ἐξειλεῖται, τοι-
αύτην καὶ τὴν ἀπὸ τούτων ἀπρχώρησιν δεῖ γενέ-
σθαι. καὶ γὰρ τούτοις ἡ φύσις συνῆψε, καὶ συνέ-
κρινεν. ἀλλὰ νῦν διαλύει; διαλύομαι, ὡς ἀπὸ οἰ-
κείων μὲν, οὐ μὴν ἀνθελκόμενος, ἀλλ' ἀβιάστως.
ἐν γὰρ καὶ τοῦτο τῶν κατὰ φύσιν. Ἔθιον τῶν πάνυ
ὡς οἷόν τε τοῦ πρασσομένου ὑπότινος, ὑπιζητεῖν
κατὰ σαυτὸν, οὗτος τοῦτο, ἐπὶ τίνα φέρει. ἀρχοῦ δὲ ἀπὸ

σαυτοῦ, καὶ σεαυτὸς πρῶτος ἐξέταζε. Μέμνησο ὅτι τὸ νευροσπαστοῦν ἐστὶν ἐκεῖνο, τὸ ἔνδος ἐγκεκρυμμένος· ἐκεῖνο ῥητορεία, ἐκεῖνο ζωή, ἐκεῖνο, εἰ δεῖ εἰπεῖς, ἄνθρωπος. μηδέποτε συμπεριφαντάζου τὸ περικείμενον ἀγγειώδεσι, καὶ τὰ ὀργάνια ταῦτα τὰ περιπεπλασμένα. ὅμοια γάρ ἐστι σκεπάρνῳ. μόνον δὲ διαφέροντα, καθότι προσφυῆ ἐστιν· ἐπεί τοι οὐ μᾶλλόν τι τοῦτον ὀφελός ἐστι τῶν μορίων, χωρὶς τῆς κινούσης καὶ ἰσχούσης αὐτὰ αἰτίας, ἢ τῆς κερκίδος τῇ ὑφαντρίᾳ, καὶ τοῦ καλαμοῦ τῷ γράφοντι, καὶ τοῦ μαστιγίου τῷ ἡνιόχῳ.

ΜΑΡΚΟΥ ΑΝΤΩΝΙΝΟΥ αὐτοκράτορος, τῶν εἰς ἑαυτὸν· Βιβλίον ιά.



Τὰ ἴδια τῆς λογικῆς ψυχῆς ἑαυτὴν ὁρᾷ, ἑαυτὴν διαρθροῖ, ἑαυτὴν ὁποίαν ἂν βούληται ποιεῖ, τὸν καρπὸν ὃν φέρει αὐτὴ καρποῦται (τοῦτο δὲ τῶν φυτῶν καρπούς, καὶ τὸ ἀναλόγον τῶν ζώων ἄλλοι καρποῦνται) τοῦ ἰδίου τέλους τυγχάνει, ὅπου ἂν τὸ τοῦ βίου πέρας ἐνθιστῇ. οὐχ ὥσπερ ἐνθὶ ὀρχήσεως καὶ ὑπο-

ἀποκρίσεως καὶ τῶν τοιούτων ἀτελὴς γίνεται ἡ ὅλη πρᾶξις ἐάν τι ἐγκόψῃ. ἀλλ' ὐδὶ παντὸς μέρους, καὶ ὅπου ἂν καταληφθῇ, πλῆρες καὶ ἀπροσδεὲς ἑαυτῇ τὸ προτεθὲν ποιεῖ· ὥστε εἰπεῖν, ἐγὼ ἀπέχω τὰ ἐμά. ἔτι δὲ περιέρχεται τὸν ὅλον κόσμον, καὶ τὸ περὶ αὐτὸν κενὸν, καὶ τὸ σχῆμα αὐτοῦ, καὶ εἰς τὴν ἀπειρίαν τοῦ αἰῶνος ἐκτείνεται, καὶ τὴν περιοδικὴν παλιγγενεσίαν τῶν ὅλων ἐμπεριλαμβάνει, καὶ περινοεῖ, καὶ θεωρεῖ. ὅτι οὐδὲν νεώτερον ὄψονται οἱ μεθ' ἡμᾶς, οὐδὲ περιττότερον εἶδον οἱ πρὸ ἡμῶν· ἀλλὰ τρόπον τινὰ ὁ τεσσαρακοντούτης, ἐὰν νοῦν ὁποσονοῦν ἔχῃ, πάντα τὰ γεγονότα, καὶ τὰ ἐσόμενα ἑώρακε κατὰ τὸ ὁμοειδὲς. ἴδιον δὲ λογικῆς ψυχῆς, καὶ τὸ φιλεῖν τοὺς πλησίον, καὶ ἀλήθεια, καὶ αἰδὼς, καὶ τὸ μηδὲν ἑαυτῆς προτιμᾶν, ὅπερ ἴδιον καὶ νόμου, οὕτως ἂν οὐδὲν διήνεγκε λόγος ὀρθὸς, καὶ λόγος δικαιοσύνης· ὠδῆς ὐδὶ τερποῦς, καὶ ὀρχήσεως, καὶ παγκρατίου καταφρονήσεις, ἐὰν τὴν μὲν ἐμμελῆ φωνὴν καταμερίσῃς εἰς ἕκαστον τῶν φθόγγων, καὶ καθ' ἕνα πύθῃ σεαυτοῦ εἰ τούτου ἥττων εἶ. διαστατήσῃ γὰρ. ὐδὶ δὲ ὀρχήσεως τὸ ἀνάλογον ποιήσας καθ' ἑκάστην κίνησιν ἢ σχέσιν. τὸ δ' αὐτὸ καὶ ὐδὶ τοῦ παγκρατίου. ὅλως οὖν χωρὶς ἀρετῆς, καὶ τῶν ἀπ' ἀρετῆς, μέμνησο ὐδὶ τὰ κατὰ μέρος στέχειν. καὶ

τῇ διαιρέσει αὐτῶν εἰς καταφρόνησιν ἰέναι. ὁ δ' αὐτὸ καὶ ἐπὶ τὸν βίον ὅλον μετάφερε. οἷα ἐστὶν ἡ ψυχὴ ἡ ἕτοιμος, ἐὰν ἤδη ἀπολυθῆναι δέῃ τοῦ σώματος· καὶ ἤτοι σβεσθῆναι, ἢ σκεδασθῆναι, ἢ συμμεῖναι. ὁ δὲ ἕτοιμον τοῦτο, ἵνα ἀπὸ ἰδικῆς κρίσεως ἔρχηται, μὴ κατὰ ψιλὴν πρόταξιν ὡς οἱ Χριστιανοί, ἀλλὰ λελογισμένως, καὶ σεμνῶς. καὶ ὥστε καὶ ἄλλον πεῖσαι ἀτραγῴδως· πεποίηκά τι κοινωνικῶς· οὐκοῦν ὠφέλημαι. τοῦτο ἵνα ἀεὶ πρόχειρον ἀπαντᾶ· καὶ μηδαμοῦ παύου. Τίς σου ἡ τέχνη; ἀγαθὸν εἶναι. τοῦτο δὲ πῶς καλῶς γίνεται, ἢ ἐκ θεωρημάτων. τῶν μὲν, περὶ τῆς τοῦ ὅλου φύσεως, τῶν δὲ περὶ τῆς ἰδίας τοῦ ἀνθρώπου κατασκευῆς. πρῶτον αἱ τραγῳδίαι παρήχθησαν ὑπομνηστικαὶ τῶν συμβαινόντων, καὶ ὅτι ταῦτα οὕτω πέφυκε γίνεσθαι. καὶ ὅτι οἷς ἐπὶ τῆς σκηνῆς ψυχαγωγεῖσθε, τούτοις μὴ ἄχθεσθε ἐπὶ τῆς μείζονος σκηνῆς. ὁρᾶτε δὲ, ὅτι οὕτω δεῖ ταῦτα περαίνεσθαι. καὶ ὅτι φέρουσιν αὐτὰ καὶ οἱ κεκραγότες· Ἰὼ Κιθαιρών. καὶ λέγεται δέ τινα ὑπὸ τῶν τὰ δράματα ποιούντων χρησίμως. οἷον ἐστὶν ἐκεῖνο μάλιστα·

Εἰ δ' ἠμελήθην ἐκ θεῶν καὶ παῖδ' ἐμὸ.
Ἔχει λόγον καὶ τοῦτο.
Καὶ πάλιν,
Τοῖς πράγμασιν γε οὐχὶ θυμέεσθαι καὶ
Βίου θερίζειν ὥστε κάρπιμον στάχυν.
Καὶ ὅσα τοιαῦτα.

Μετὰ

Μετὰ δὲ τὴν τραγῳδίαν ἡ ἀρχαία κωμῳδία πρόηχθη, παιδαγωγικὴν πρὸς ῥησίαν ἔχουσα, καὶ τῆς ἀτυφίας οὐκ ἀχρήστως δι' αὐτῆς τῆς εὐθυῤῥημοσύνης ὑπομιμνήσκουσα· πρὸς οἷόν τι καὶ Διογένης ταυτὶ προελάμβανε. μετὰ ταῦτα τίς ἡ μέση κωμῳδία, καὶ λοιπὸν ἡ νέα πρὸς τίποτε πάρείληπται, ἢ κατ' ὀλίγον ὑπὸ τὴν ἐκ μιμήσεως φιλοτεχνίαν ὑπεῤῥύη ἐπίστησον· ὅτι μὴ δὲ λέγεται καὶ ὑπὸ τούτων τινὰ χρήσιμα, οὐκ ἀγνοεῖ δ'. ἀλλὰ ἡ ὅλη ὑπιβολὴ τῆς τοιαύτης ποιήσεως καὶ δραματουργίας πρὸς τίνα ποτὲ σκοπὸν ἀπέβλεψε; πῶς ἐναργὲς προσπίπτει τὸ μὴ εἶναι ἄλλην βίου ὑπόθεσιν εἰς τὸ φιλοσοφεῖν οὕτως ὑπιτήδειον, ὡς ταύτην ἐν ᾗ νῦν ὢν τυγχάνεις. Κλάδος τοῦ προσεχοῦς κλάδου ἀφρκοπεὶς, οὐ δύναται μὴ καὶ τοῦ ὅλου φυτοῦ ἀφρκεκόφθαι. οὕτω δὴ καὶ ἄνθρωπος, ἑνὸς ἀνθρώπου ἀφρχισθεὶς ὅλης τῆς κοινωνίας ἀφρπέπτωκε. κλάδον μὲν οὖν ἄλλος ἀφρκόπτει, ἄνθρωπος δὲ αὐτὸς ἑαυτὸν τοῦ πλησίον χωρίζει, μισήσας καὶ ἀφρτραφεὶς, ἀγνοεῖ δὲ ὅτι καὶ τοῦ ὅλου πολιτεύματος ἅμα ἀφρτέτμηκεν ἑαυτὸν. πλὴν ἐκεῖνόγε δῶρον τοῦ συστησαμένου τὴν κοινωνίαν Διός. ἔξεστι γὰρ πάλιν ἡμῖν συμφῦναι τῷ προσεχεῖ, καὶ πάλιν τοῦ ὅλου συμπληρωτικοῖς γίνεσθαι. πλεονάκις μέντοι γινόμενον τὸ κατὰ τὴν τοιαύτην διαί-

ρεσιν, δυσχώτον καὶ δυσαποκαθάτατον πε-
χωρῶν ποιεῖ. ὅλως τε οὐχ ὅμοιος ὁ κλαυθ-
ὁ ἀπ' ἀρχῆς συμβλασήσας, καὶ σύμπνους
συμμένας ἀεὶ μετὰ τὴν ἀποκοπὴν αὐθις ἐγ-
κοντειωθέντα. ὅ, τί ποτε λέγουσι οἱ φυτουργοί,
ὁμοθαμνεῖν μὲν, μὴ ὁμοδυματεῖν δὲ. Οἱ σύ-
σαμνοι πειθόντωσοι κ' τὸν ὀρθὸν λόγον, ὥσ-
περ ἀπὸ τῆς ὑγιοῦς πλάξεως ἀφεστάναι σε οὐ
δυνήσονται, ὅτως μηδὲ τῆς πρὸς αὐτοὺς εὐ-
μενείας ἐκπορεύεσθαι. δίκαι φύλαττε ἑαυτὸν
ἐπ' ἀμφοτέρων ὁμοίως. μὴ μόνον ὑπὸ τῆς βύ-
σαλθοῦς κρίσεως ἢ πλάξεως, ἀλλὰ καὶ ὑπὸ τ'
πρὸς αὐτὴν κωλύειν ὑπὸ χειροῦντας, ἢ ἄλλως δυ-
σχεραίνοντας πραότητ Θ. Ϲ γὰρ τοῦτο ἀαθεὲς,
σ' χαλεπαίνφν αὐτοῖς ὥσπερ τὸ ἀφεστῆναι τῆς
πλάξεως, καὶ ἀνθοῦναι κατα πλαγοήτα· ἀμ-
φότεροι γὰρ ἐπίσης λιποτάκ), ὁ μὲν ὑποδρέ-
σας, ὁ δὲ ἀλλοτειωθεὶς πρὸς τὸν φύσει συγγενῆ
ἢ φίλον. Οὐκ ἔστι χείρων ἀδεμία φύσις τέχνης.
ἢ γὰρ αἱ τέχναι τὰς φύσεις μιμοῦνται. εἰ δὲ τὸ
Ϲ, ἡ πασῶν τ' ἄλλων τελεωτάτη καὶ περιλη-
πτικωτάτη φύσις, οὐκ ἂν ἀφλείποι τ' τεχνι-
κῆς δυμηχανίας. πᾶσαι δέγε τέχναι τ' ἥττονων
ἕνεκεν τὰ χείρω ποιοῦσιν· οὐκοῦν ἡ κοινὴ φύ-
σις. ἢ δὴ οὗτον μὲν γένεσις δικαιοσύνης, ἀφ' δὲ
ταύτης αἱ λοιπαὶ ἀρεταὶ ὑφίσαν), ὡς μ' τηρη-

θήσεται

δήσεται τὸ δίκαιον, ἐαὶν ἤτοι διαφερώμεθα πρὸς τὰ μέσα, ἢ δυξαπάτηδι ἢ πρωπικοὶ ἢ μεταπρωπικοὶ ὦμεν. Εἰ δὲ ἐρχεῖ σε τὰ πράγματα ὧν αἱ διώξεις σὲ φυγαὶ θορυβοῦσί σε. ἀλλὰ τρόπον τινὰ αὐτὸς ἐπ' ἐκείνας ὁρμᾶ. τὸ γὰρ κλήρημα τὸ σοὶ αὐτῆ, ἡσυχαζέτω, καὶ κεῖνα μένει ἀτρεμοῦντα, μὴ ὄντε διώκων ὄντε φεύγων ὀφθήσῃ. σφαῖρα ψυχῆς αὐθεσίης, ὅταν μήτε ἐκτείνηται ἐπί τι, μήτε ἔσω σωτρέχῃ, μήτε ζωιζαίνῃ. ἀλλὰ φωτὶ λαμπηται, ᾧ τὸ ἀλήθειαν ὁρᾷ τὸ σαυτῆ, καὶ τὸ οἱ αὐτῇ.

Καταφρονήσει μου τὶς; ὄψεται. ἐγὼ δὲ ὁμολογῶ, ἵνα μὴ καταφρονήσεως ἄξιον πράσσων ἢ λέγων δόξω. μισήσει; ὄψεται. ἀλλὰ ἐγὼ βωμολόχος καὶ βύρσος σαυτῷ, καὶ τούτῳ αὐτῷ ἕτοιμος δὲ προῤῥωμένον δεῖξαι, οὐκ ὀκνήσαντος, οὐδὲ ἕως καταπροσκυνήσω ὅτι ἀνέχομαι, ἀλλὰ γνησίως καὶ χρηστῶς, οἷος ὁ Φωκίωνος ἐκεῖνος, εἴ γε μὴ προσεσοφίζετο· τὰ ἔσω γὰρ δεῖ τοιαῦτα εἶναι, καὶ ἔσω τὴν θεὸν βλέπειν αὐθρώπου πρὸς μηδὲν ἀναγκαίως διαπτοημένου, μηδὲ δεινοπαθοῦντα· τί γάρ σοι κακὸν ἐὰν αὐτὸς νῦν ποιῇ τὸ ἰδιωτῇ φύσει σου οἰκεῖον, ἄδεχα τὸ νῦν τῇ τῶν ὅλων φύσει δύσκαιρος, ἀνθρωπος τεταγμένος πρὸς τὸ γίνεσθαι δι' ὅτι δὴ τὸ κοινῇ συμφέρον; ἀλλήλων καταφρονοῦν-

τεῦ, ἀλλήλοις ἀρεσκεύοντες, καὶ ἀλλήλων ὑπερέχειν θέλοντες, ἀλλήλοις ὑποκατακλίνονται. Ὡς σα πρὸς καὶ κίβδηλος ὁ λέγων, ἐνὼ προῄρημαι ἁπλῶς σοι προσφέρεσθε. τί ποιεῖς ἄνθρωπε; οὐκ οὐ δεῖ προλέγειν. αὐτοῦ φανήσεται· ὑπὸ τοῦ μετώπου γεγράφθαι ὀφείλε εὐθὺς ἡ φωνή· τοιοῦτον ἔχει, εὐθὺς ἐν τοῖς ὄμμασιν ἐξέχει, ὡς τὴν ἐραστῶν ἐν τῷ βλέμματι, πάντα εὐθὺς γνωρίζει ὁ ἐρώμενος, τοιοῦτον ὅλως δεῖ τὴν ἁπλοῦν καὶ ἀγαθὸν εἶναι, οἷον γράφονα. ἵνα ὁ πρᾶστὰς, ἅμα τῷ προσελθεῖν θέλει οὐ θέλει αἴσθητι. ὑπὸ τήδευσις δὲ ἁπλότητος σκάλμη ἐστὶν, οὐδὲν ἐστὶν αἴσχιον λυκοφιλίας. πάντην μάλιστα οὐκ φεῦγε, ὁ ἀγαθὸς, καὶ ἁπλοῦς, καὶ εὐμενὴς, ἐν τοῖς ὄμμασιν ἔχουσιν ταῦτα. καὶ οὐ λανθάνει. κάλλιστα δὲ ζῆν, δύναμις αὐτὴ ἐν τῇ ψυχῇ, ἐὰν πρὸς τὰ ἀδιαφορα ἀδιαφορῇ, ἀδιαφορήσει δὲ, ἐὰν ἕκαστον αὐτῶν θεωρῇ διῃρημένως καὶ ὁλικῶς, καὶ μεμνημένος, ὅτι οὐδὲν αὐτῶν ὑπόληψιν περὶ αὐτῶν ἡμῖν ἐμποιεῖ, οὐ δὲ ἔρχεται ἐφ' ἡμᾶς· ἀλλὰ τὰ μὲν ἀτρεμεῖ· ἡμεῖς δὲ εἰς μὲν, οἱ τὰς περὶ αὐτῶν κρίσεις γεννῶντες καὶ οἷον γράφοντες ἑαυτοῖς, ἐξὸν μὲν μὴ γράφειν. ἐξὸν δὲ κἂν που λάθῃ, εὐθὺς ἐξαλεῖψαι. ὅτι ὀλίγου χρόνου ἔσται ἡ τοιαύτη προσοχή. καὶ λοιπὸν πεπαύσεται ὁ βίος. Τί μέντοι δύσκολον καλῶς ἔχειν ταῦτα; εἰ μὲν τὴν κατὰ φύσιν ἐστὶ, χαῖρε αὐτοῖς.

καὶ

καὶ ῥάδια ἔσωσι· εἰ δὲ παρὰ φύσιν, ζήτει πόθεν σοι κεῖται ἡ τοιαύτη φύσις. καὶ ὧδε δεῖ σκοπεῖν ἀεὶ ἐπὶ παντός. πάντα γὰρ συγγνώμης ἴδιον ἀγαθὸν ζητοῦσι. πόθεν ἐλήλυθεν ἕκαστον, μὴ ἐκ πόνων ἕκαστον ἀποκειμένων, καὶ εἰς τί μεταβάλλει, καὶ οἷον ἔσται μεταβάλλον, καὶ ὡς οὐδὲν καινὸν πείσεται. καὶ πρῶτον, πῶς ἡ πρὸς αὐτὸν μοι σχέσις. καὶ ὅτι ἀλλήλων ἕνεκεν γεγόναμεν. καὶ κατ' ἕτερον λόγον, προσήσομεν αὐτῆν γέγονα, ὡς κριὸς τοίμνης, ἢ ταῦρος ἀγέλης. ἀνώθεν δὲ ἐπιθὴ, ἀπὸ τοῦ εἰ μὴ ἄτομοι, φύσις ἢ τὰ ὅλα διοικοῦσα. εἰ δὲ τοῦτο, τὰ χείρονα τῶν κρειττόνων ἕνεκεν· ταῦτα δὲ, ἀλλήλων. δεύτερον δὲ, ὁποῖοί τινές εἰσιν ἐν τῷ τραπέζῃ, καὶ ἐν τῷ κλινιδίῳ, τὰ λοιπὰ μάλιστα δὲ, οἷας ἀναγκαίας δυνάμεως ἕξουσιν, καὶ αὐτὰ δὲ πάντα μετ' οἴου τύφου ποιοῦσι. τέταρτον, ὅτι εἰ μὴ ὀρθῶς ταῦτα ποιοῦσιν, οὐ δεῖ δυσχεραίνειν· εἰ δ' οὐκ ὀρθῶς, δηλονότι ἀκόντες καὶ ἀγνοοῦντες. πᾶσα γὰρ ψυχὴ ἄκουσα στέρεται, ὥσπερ πάσης ἀληθοῦς, οὕτως καὶ τοῦ κατ' ἀξίαν ἑκάστῳ προσφέρεσθαι. ἄχθονται γοῦν ἀκόντες ἄδικοι, καὶ ἀγνώμονες καὶ πλεονέκται, καὶ καθάπαξ ἁμαρτητικοὶ πρὸς τὸν πλησίον. τέταρτον, ὅτι καὶ αὐτὸς πολλὰ ἁμαρτάνει, καὶ ἄλλος τοιοῦτος ἐστι. καὶ εἴ τινων ἧττον ἁμαρτήματίν ἀπέχει,

ἀλλὰ

ἀλλὰ τὴν γε ἕξιν ποιητικὴν ἕξεις, εἰ καὶ μὴ δειλίαν, ἢ δοξοκοπίαν, ἢ τοιοῦτό τι κακὸν, ἀποχὴ τῶν ὁμοίων ἁμαρτημάτων. πέμπτον, ὅπου δὲ εἰ ἁμαρτάνουσι κατείληφας. πολλὰ γὰρ κατ' οἰκονομίαν γίνεται, καὶ ὅλως πολλὰ δεῖ πρότερον μαθεῖν, ἵνα τις περὶ ἀλλοτρίας πράξεως καταληπτικῶς τι ἀφφήνηται. ἕκτον, ὅπι ὅταν λίαν ἀγανακτῇς, ἢ ὑπερβαλῇς, ἀηδιαιῶν ὁ ἀνθρώπειος βίος, ὃ μετ' ὀλίγον πάντα ὑπέτα θημεν. ἕβδομον, ὅτι οὐχ αἱ πράξεις αὐτῆν ἀνιχλοῦσιν ἡμῖν. ἐκεῖναι γὰρ ἑστῶσαι τοῖς ἐκείνων ἡγεμονικοῖς· ἀλλ' αἱ ἡμέτεραι ὑπολήψεις. ἄρον γὰρ καὶ θέλησον ἀφεῖναι τὴν ὡς περὶ δεινοῦ κρίσιν, καὶ ἀπῆλθεν ἡ ὀργή. πῶς δὲν ἀφεῖλησόμεθα ὅτι οὐκ αἰσχρόν. ἑαυτὸ μὴ μόνον ἢ τὸ αἰσχρὸν κακὸν, ἀνάγκη καὶ σὲ πολλὰ ἁμαρτάνειν, καὶ λῃστὴν καὶ παντοῖον γενέσθαι. ὄγδοον, ὅσῳ χαλεπώτερα ἰδιοφέρουσιν αἱ ὀργαὶ καὶ λύπαι αἱ περὶ τοῖς τοιούτοις, ἢπερ αὐτὰ ὅσιν ἐφ' οἷς ὀργιζόμεθα καὶ λυπούμεθα. ἔνατον, ὅτι τὸ θνητὸν ἀνίκητον, ἐὰν γνήσιον ἢ καὶ μὴ σεσηρός, μηδὲ ὑποκρισις. τί γάρ σοι ποιήσει ὁ ὑβριστικώτατος, ἐὰν διατελῇς εὐμενὴς αὐτῷ, καὶ ἑτοῖμος ἔτυχε πρᾴως νουθετῆσαι καὶ μεταδιδάσκειν εὐμενῶς αὐτὸν ἐκεῖνον τὸν καιρὸν, ὅτε κακὰ ποιεῖν σε ἐπιχειρεῖ; μὴ τέκνον, πρὸς ἄλλο πε-

φύκα-

φύκαμεν. ἐγὼ μὲν οὐ μὴ βλαβῶ, σὺ δὲ βλάπτῃ, τέκνον. καὶ δεικνῦναι εὐαφῶς καὶ ὁλικῶς, ὅτι τοῦτο οὕτως ἔχει. ὅτι οὐδὲ μέλισσαι αὐτὸ ποιοῦσιν, οὐδ' ὅσα συναγελαστικὰ πέφυκε. Δεῖ δὲ μή τε εἰρωνικῶς αὐτὸ ποιεῖν, μή τε ὀνειδιστικῶς, ἀλλὰ φιλοστόργως καὶ ἀδήκτως τῇ ψυχῇ, καὶ μὴ ὡς ἐν σχολῇ, μηδὲ ἵνα ἄλλος πρᾶστὰς θαυμάσῃ· ἀλλ' ἤ τοι πρὸς μόνον, καὶ ἐὰν ἄλλοί τινες περιεστήκωσι. τούτην τὴν ἐννέα κεφαλαίων μέμνησο, ὡς πρὰ τῶν Μουσῶν δῶρα εἰληφὼς, καὶ ἄρξαί ποτε ἄνθρωπος εἶναι, ἕως ζῇς. Φυλακτέον δὲ ἐπίσης τοῦ ὀργίζεσθαι αὐτοῖς, τὸ κολακεύειν αὐτούς. ἀμφότερα γὰρ ἀκοινώνητα, καὶ πρὸς βλάβην φέρει. πρόχειρον δὲ ἐν ταῖς ὀργαῖς, ὅτι οὐχὶ τὸ θυμοῦσθαι ἀνδρικὸν, ἀλλὰ τὸ πρᾷον καὶ ἥμερον, ὥσπερ ἀνθρωπικώτερον, οὕτως καὶ ἀῤῥενικώτερον, καὶ ἰσχύος καὶ νεύρων καὶ ἀνδρίας τούτῳ μέτεστιν, οὐχὶ τοῦ ἀγανακτοῦντι καὶ δυσαρεστοῦντι. ὅσῳ γὰρ ἀπαθείᾳ τοῦτο οἰκειότερον, τοσούτῳ καὶ δυνάμει. ὥσπερ τε ἡ λύπη ἀσθενοῦς, οὕτως καὶ ἡ ὀργή. ἀμφότεροι γὰρ τέτρωνται, ὃ ἐν δεδώκασιν. εἰ δὲ βούλει, καὶ δέκατον πρὰ τοῦ μουσηγέτου δῶρον λαβέ. Ὅτι τὸ μὴ ἀξιοῦν ἁμαρτάνειν τοὺς φαύλους μανικόν. ἀδυνάτου γὰρ ἐφίεται. οὐ δὲ συγχωρεῖν ἄλλοις μὴ εἶναι τοιούτους,

ἀξιοῦν

ἀξιοῦν δὲ μὴ εἰς σὲ ἁμαρτάνειν, ἄγνωμον καὶ τυραννικόν. Τέσσαρας μάλιστα τροπὰς τοῦ ἡγεμονικοῦ παραφυλακτέον διηνεκῶς, καὶ ἐπειδὰν φωράσῃς, ἀπαλειπτέον, ὑπὲρ λέγοντα ἐφ' ἑκάστου οὕτως. οὗτος τὸ φάντασμα οὐκ ἀναγκαῖον. οὗτος, λυτικὸν κοινωνίας. οὗτος, οὐκ ἀπὸ σαυτοῦ μέλλεις λέγειν. τὸ γὰρ μὴ ἀφ' ἑαυτοῦ λέγειν ἐν τοῖς ἀτοπωτάτοις νόμιζε. τέταρτον δὲ ἐστὶ καθ' ὃ σεαυτοῦ ὀνειδιεῖς, ὅτι οὗτος ἡττωμένου ἐστὶ καὶ ὑποκατακλινομένου τοῦ ἐν σοὶ θειοτέρου μέρους, τῇ ἀτιμωτέρᾳ καὶ θνητῇ μοίρᾳ τῇ τοῦ σώματος, καὶ ταῖς τούτου παχείαις ἡδοναῖς. Τὸ μὲν πνευμάτιόν σου, καὶ τὸ πυρῶδες πᾶν ὅσον ἐγκέκραται, καίτοι φύσει ἀνωφερῆ ὄντα, ὅμως πειθόμενα τῇ τῶν ὅλων διατάξει, παρακρατεῖται ἐνταῦθα ὑπὲρ τοῦ συγκρίματος. καὶ τὸ γεῶδες δὲ τὸ ἐν σοὶ πᾶν, καὶ τὸ ὑγρὸν, καὶ τὰ κατωφερῆ ὄντα, ὅμως ἐγήγερται καὶ ἕστηκε τὴν οὐχ ἑαυτῶν φυσικὴν στάσιν. οὕτως ἄρα καὶ τὰ στοιχεῖα ὑπακούει τοῖς ὅλοις, ἐπειδάν που κατατάχθῃ σὺν βίᾳ μένοντα, μέχρις ἂν ἐκεῖθεν πάλιν τὸ ἐνδόσιμον τῆς διαλύσεως σημήνῃ. οὐ δεινὸν οὖν μόνον τὸ νοερόν σου μέρος ἀπειθὲς εἶναι, καὶ ἀγανακτεῖν τῇ ἑαυτοῦ χώρᾳ καὶ τοι οὐδέν γε βίαιον τούτῳ ὑπὲρ τάσσεται. ἀλλὰ μόνα, κατὰ φύσιν ἐστὶν αὐτῷ. οὐ μέντοι ἀνέχεται, ἀλλὰ τὴν ἐναντίαν φέρεται. ἡ τὸ ὑπὲρ τὰ ἀ-

δικήματα

δικήματα καὶ τὰ ἀκολαστήματα, καὶ τὰς λύπας, καὶ τοὺς φόβους κίνησις, οὐδὲν ἄλλό ἐστιν, ἢ ἀφισταμένου τῆς φύσεως. καὶ ὅταν δέ τινι τῶν συμβαινόντων δυσχεραίνει τὸ ἡγεμονικὸν, καταλείπει καὶ τότε τὴν ἑαυτοῦ χώραν. πρὸς ἰσότητα γὰρ καὶ θεοσέβειαν κατεσκεύασται, οὐχ ἧττον ἢ πρὸς δικαιοσύνην: καὶ γὰρ ταῦτα ἐν εἴδει ἐστὶ τῆς εὐκοινωνησίας, μᾶλλον δὲ πρεσβύτερα τῶν δικαιοπραγημάτων. ὧν μὴ εἷς καὶ ὁ αὐτός ἐστιν ἀεὶ τοῦ βίου σκοπός, οὗτος εἷς καὶ ὁ αὐτὸς δι' ὅλου τοῦ βίου εἶναι οὐ δύναται. οὐκ ἀρκεῖ τὸ εἰρημένον, ἐὰν μὴ κἀκεῖνο προσθῇς, ὁποῖον εἶναι δεῖ τοῦτον τὸν σκοπόν. ὥσπερ γὰρ οὐχ ἡ πάντων τῶν ὁπωσοῦν πλείοσι δοκούντων ἀγαθῶν ὑπόληψις ὁμοία ἐστὶν, ἀλλ' ἡ τῶν τοίων δέ τινων, τουτέστι τῶν κοινῶν, οὕτω καὶ τὸν σκοπὸν, δεῖ τὸν κοινωνικὸν καὶ πολιτικὸν ὑποστήσεσθαι. ὁ γὰρ εἰς τοῦτον πάσας τὰς ἰδίας ὁρμὰς ἀπευθηνῶν, πάσας τὰς πράξεις ὁμοίας ἀπεδώσει. καὶ κατὰ τοῦτον ἀεὶ ὁ αὐτὸς ἔσται. Τὸν μὲν τὸν ὀρεινὸν, καὶ τὸν κατοικίδιον καὶ τὴν πτοίαν τούτου καὶ διασόβησιν. Σωκράτης καὶ τὰ τῶν πολλῶν δόγματα, λαμίας ἐκάλει, παιδίων δείματα. Λακεδαιμόνιοι τοῖς μὴ ξένοις ἐν ταῖς θεωρίαις ὑπὸ τῇ σκιᾷ τὰ βάθρα ἐτίθεσαν, αὐτοὶ δὲ οὗ ἔτυχεν ἐκαθέζοντο. Τῷ Γερδίκκᾳ ὁ Σωκράτης περὶ

τοῦ μὴ

τῶ μὴ ὀρχεῖσθαι πρὸς αὐτὸν, ἵνα ἔφη μὴ τῷ κακίσῳ ὀλίθρῳ ἀποδόλφμαι. Τουτέστι μὴ δῦ παθῶν οὐδιωκηθῶ αὐτὸν ποιῆσαι. Ἐν τοῖς τῶν Ἐφεσίων γράμμασι, πρόγγελμα ἐκεῖθ σωνεχῶς ὑπομιμνήσκεσθαι τῶν παλαιῶν τινῶν τῶν ἀρετῆ χρησαμένων. Οἱ Πυθαγόρφοι, ἐωθεν εἰς τὸν οὐρανὸν ἀφορᾶν, ἵν' ὑπομιμνησκώμεθα τῶν ἀεὶ κ τὰ αὐτὰ ὡσαύτως ἑαυτῶ ὄρῶν ἀμανόντων, ὑ τ τάξεως ἢ τ καθαρότητ, ὑ τ γυμνότητ. ὁδοὶ γὰρ πολλάλυμμα ἄστρου. οἷ ὁ Σωκράτης τὸ κώδιον ὑπεζωσμένθ, ὅτε ἡ Ξανθίππη λαβοῦσα τ ἱμάτιον ἔξω προῆλθε. καὶ ἃ εἶπεν ὁ Σωκράτης τοῖς ἑταίροις αἰδεσθεῖσι καὶ ἀναχωρήσασιν, ὅτε αὐτὸν εἶδον ὕτως ἐσαλμένον.

Ἐν τῷ γράφῃ καὶ ἀναγινώσκῃ οὐ πότερον ἄρξεις, πρὶν ἀρχθῆς. τοῦτο πολλῷ μᾶλλον ἐν τῷ βίῳ.

Δῆλθ' ἔφυκας, ἃ μέτεσί σοι λέγου.
Ἐμόν δ' ἐγέλασε φίλθυμος.

Μέμφονται δ' ἀρετῶ χαλεποῖς βαλλόντοις ἔτεσιν. Σῦκον χειμῶν ζητεῖν, μαινομένου. Τοιοῦτ ὁ τὸ παιδίον ζητῶν, ὅτε δὴ ἐπιδοται. καταφιλοῦντα τὸ παιδίον ἔλεγεν ὁ Ἐπίκτητ, οὕτω φιλεῖσθαι, οὐδὲν ὑπερφέρεσθαι, οὐδὲν ἴσως ἀρθανῆ. δύσφημα ταῦτα; ὅδεν δύσφημον ἔφη φυσι-

φυσικοῦ τινος ἔργου σημαντικόν. ἢ καὶ τὸ τοὺς
στάχυας θερισθῆναι, δύσφημον. ὄμφαξ, σταφυ-
λὴ, σταφὶς, πάντα μεταβολαί, οὐκ εἰς τὸ μὴ ὄν,
ἀλλ' εἰς τὸ νῦν μὴ ὄν. Λῃστὴς προαιρέσεως οὐ γίνε-
ται, τοῦ τοῦ Ἐπικτήτου. Τέχνην δὲ ἔφη περὶ τοῦ
συγκατατίθεσθαι εὑρεῖν. καὶ ἐν τῷ περὶ τὰς ὁρ-
μὰς τόπῳ τοῦ προσεκτικὸν φυλάσσειν, ἵνα μεθ'
ὑπεξαιρέσεως, ἵνα κοινωνικαὶ, ἵνα κατ' ἀξίαν. καὶ
ὀρέξεως μὲν παντάπασιν ἀπέχεσθαι, ἐκκλίσει
δὲ πρὸς μηδὲν τῶν οὐκ ἐφ' ἡμῖν χρῆσθαι, οὐ περὶ
τοῦ τυχόντος οὖν ἔφη ἐστὶν ὁ ἀγών, ἀλλὰ περὶ τοῦ
μαίνεσθαι, εἰ μὴ ὁ Σωκράτης ἔλεγε. τί θέλε-
λετε λογικῶν ψυχὰς ἔχειν, ἢ ἀλόγων; λογι-
κῶν. τίνων λογικῶν; ὑγιῶν, ἢ φαύλων;
ὑγιῶν; τί οὖν ζητεῖτε; ὅτι ἔχο-
μεν. τί οὖν μάχεσθε, καὶ
διαφέρεσθε;

ΜΑΡΚΟΥ ΑΝΤΩΝΙ-
νου αὐτοκράτορος, τῶν εἰς ἑαυ-
τὸν Βιβλίον ιϐ'.



ΠΑΝΤΑ ὅσα ἐφ' ἃ ἀφὰ πε-
ριόδου οὖχη ἐλθεῖν, ἤδη ἔχειν
δοκάζαι, ἐὰν μὴ σαυτῷ φθο-
νῆς. τοῦτο δ' ἔστιν, ἐὰν παῦ τὸ παρελ
θὸν καταλίπῃς, μὴ τὸ μέλλον ἐ-
πιτρέψῃς τῇ προνοίᾳ. μὴ δ' παρὸν μόνον ἀπθυ-
θυίνης πρὸς ὁσιότητα καὶ δικαιοσύνῃ. ὁσιότη-
τα μὲν, ἵνα φιλῇς δ' ἀρεσκόμενον. σοὶ γὰρ αὐ-
τὸ ἡ φύσις ἔφερε, καὶ σὲ τούτῳ. δικαιοζωίνῃ δ',
ἵνα ἐλθυθέρως καὶ χωρὶς περιστολοκῆς λέγῃς τε
τἀληθῆ, καὶ πράττῃς τὰ κατ' νόμον, καὶ κατ'
ἀξίαν. μὴ ἐμποδίζῃ δέ σε, μήτε κακία ἀλλο-
τρία, μήτε ὑποδόλημις, μήτε φαντή, μηδὲ μὲν αὖ-
θησις τῆς ποδιτεθραμμένου σοι σαρκιδίου. ἀ-
φήσεται γὰρ δ' πάσχον. ἐὰν δὲν ὅτε δή ποτε πρὸς
ἡγόδωγένῃ, ποῦτα τὰ ἄλλα καταλιπὼν, μό-
νον τὸ ἡγεμονικόν σου, μὴ τὸ σοὶ θεῖον τιμήσῃς, μὴ
τὸ μὴ ποῦσεσθαί ποτε ζῶν φοβηθῆς, ἀλλὰ τοῦτο
μηδέποτε ἀρξάσθω κατ' φύσιν ζῶν· ἔστι ἀνθρω-
πος. ἄξιος τῆς γεννήσαντος κόσμου, ὃ ποῦτο
ξένος ὢν τῆς πατρίδος, καὶ θαυμάζων ὡς
ἀπροσδό-

ἀπροσδόκητα τὰ καθ' ἡμέραν γινόμενα, καὶ κρε-
μαμένος ἐκ τοῦδε καὶ τοῦδε. Ὁ θεὸς πάντα
τὰ ἡγεμονικὰ, γυμνὰ τῶν ὑλικῶν ἀγγείων καὶ
φλοιῶν καὶ καθαρμάτων ὁρᾷ. μόνῳ δὲ τῷ ἑαυτοῦ
νοερῷ μόνων ἅπτεται, τῶν ἐξ ἑαυτοῦ εἰς ταῦτα ἐῤῥυη-
κότων καὶ ἀπωχετευμένων. ἐὰν δὲ καὶ σὺ τοῦτο ἐθί-
σῃς ποιεῖν, τὸν πολὺν περισπασμὸν σεαυτοῦ περι-
αιρήσεις. ὁ δὲ μὴ τὰ περικείμενα κρεάδια ὁρῶν,
ἤπουγε ἐσθῆτα, καὶ οἰκίαν, καὶ δόξαν, καὶ τὴν
τοιαύτην περιβολὴν καὶ σκηνὴν θεώμενος, ἀσχο-
λήσεται; τρία ἐστὶν ἐξ ὧν συνέστηκας, σωμάτιον
πνευμάτιον, νοῦς. τούτων τἄλλα μέχρι τοῦ ἰδιμε-
λεῖσθαι δεῖν σά ἐστι. τὸ δὲ τρίτον μόνον κυρίως σὸν, ὃ
ἐὰν χωρίσῃς ἀπὸ σεαυτοῦ, τουτέστιν ἀπὸ τῆς σῆς
διανοίας, ὅσα ἄλλα ποιοῦσιν ἢ λέγουσιν ἢ ὅσα αὐτὸς
ἐποίησας ἢ εἶπας, καὶ ὅσα ὡς μέλλοντα ταράσ-
σεις, καὶ ὅσα τοῦ περικειμένου σοι σωματίου, ἢ τοῦ συμ-
φύτου πνευματίου, ἀπεραίρετα πρόσεστιν, καὶ ὅ-
σα ἡ ἔξωθεν περιῤῥέουσα δίνη ἑλίσσει, ὥστε τῶν συνει-
μαρμένων ἐξηρμένην καθαρὰν τὴν νοερὰν δύνα-
μιν ἀπόλυτον ἐφ' ἑαυτῆς ζῆν, ποιοῦσαν τὰ δί-
καια, καὶ θέλουσαν τὰ συμβαίνοντα, καὶ λέγου-
σαν τἀληθῆ, ἐὰν χωρίσῃς φημὶ τοῦ ἡγεμονικοῦ τού-
του τὰ προσηρτημένα ἐκ προσπαθείας, καὶ τοῦ
χρόνου τὰ ἐπέκεινα, ἢ τὰ παρῳχηκότα, ποιήσῃς
τε σεαυτὸν, οἷος ὁ Ἐμπεδόκλειος σφαῖρος κυκλο-

τορὴς κοινῇ συλλιθεῖ ταίων, μόνοντε ζῶν ἐμμελετήσης ὁ ζῆς, τουτέστι τὸ πῖον, διωκήσει τόγε μέχρι τοῦ ἀφθαινεῖν ὑπολειπόμενον, ἀπαράκλητος καὶ αὐγενὸς, καὶ ἱλέως τῷ σαυτοῦ δαίμονι διαβιῶναι. πολλαχοῦ ἐθαύμασα, πῶς ἕκαστος μᾶλλον σαυτὸν φιλεῖ, τῆς δὲ ἑαυτοῦ περὶ αὐτὸν ὑπολήψιν οὐ ἐλάττονι λόγῳ τίθεται, ἢ τῶν ἄλλων. Ἐάν γοῦν τινὰ θεὸς ὑπὸ τὰς, ἢ δι' ὁσιακάλως ἐμφρων καλούσῃ μηδὲ καθ' ἑαυτὸν οὐθυμεῖσθαι καὶ διανοεῖσθαι, ὃ μὴ ἂν μάλιστα γινώσκων ὑποίσει, οὐδὲ πρὸς μίαν ἡμέραν δοῦλον ἑαυτοῦ θέτω. οὕτω δὴ τέλας μᾶλλον αἰδούμεθα τὰ ποτε περὶ ἡμῶν φρονήσουσιν, ἢ ἑαυτούς. Πῶς ποτε πάντα καλῶς καὶ φιλανθρώπως διατάξαντες οἱ θεοὶ, τοῦτο μόνον παρεῖδον, δι' οὓς τὴν ἀνθρώπων καὶ παῦν χρησοὺς, καὶ πολεῖσα πρὸς θεῖον ὥσπερ συμβόλαια ἠμείψας, καὶ ὑπὸ πολεῖσον δι' ὁρῶν ὁσίων καὶ ἱερουργιῶν ξυνήθεις ζωῆς θείῳ χρωμένους, ἐπειδὰν ἅπαξ ἀφθάνωσι, μηκέτι αὖθις γίνεσθαι, ἀλλ' εἰς τὸ παντελὲς ἀπορεῖσθαι. τοῦτο δὲ εἴπερ καὶ ὅτως ἔχει, οὗ ἕνεκα ἔπρεπε καὶ ὡς ἔπρεπε ἔχειν ἔδει, ἐπορίσθη ἂν. εἰ γὰρ δίκαιον ἦν, ἦν ἂν καὶ δυνατόν. καὶ εἰ κατὰ φύσιν, ἤνεγκεν ἂν αὐτὸ ἡ φύσις. ἐπεὶ δὲ τὸ μὴ ὅτως ἔχειν, εἴπερ ὄχ ὅτως ἔχει, πιθάνως σοι τὸ μὴ δεῖσθαι ὅτω γίνεσθαι. ὁρᾷς γὰρ καὶ αὐτὸς, ὅπ τοῦτο πράζη-

πραζητὴν δικαιολογῇ πρὸς τὸν θεόν. οὐκ ἂν δ' οὕτω διελεγόμεθα τοῖς θεοῖς, εἰ μὴ ἄριστοι καὶ δικαιότατοί εἰσιν. εἰ δὲ οὕτω, οὐκ ἂν τι παρεῖδον ἀδίκως καὶ ἀλόγως ἠμελημένον τῶν ἐν τῇ διακοσμήσει. Ἔθιζε καὶ ὅσα ἀγρυπνώσκεις. καὶ γὰρ ἡ χεὶρ ἡ ἀριστερὰ πρὸς τὰ ἄλλα διὰ τὸ ἀνέθιστον ἀργὸς οὖσα, τοῦ χαλινοῦ ἐῤῥωμενέστερον ἢ ἡ δεξιὰ κρατεῖ. οὕτω γὰρ εἴθισται. Ὁποῖον δεῖ καταληφθῆναι ὑπὸ τοῦ θανάτου, καὶ σώματι καὶ ψυχῇ τὴν βραχύτητα τοῦ βίου, τὴν ἀχάνειαν τοῦ ὀπίσω καὶ πρόσω αἰῶνος, τὴν αἰσθένειαν πάσης ὕλης, γυμνὰ τῶν φλοιῶν θεάσασθαι τὰ αἰτιώδη. τὰς ἀναφοράς τῶν πράξεων. τί πόνος, τί ἡδονή. τί θάνατος, τί δόξα. τὶς ὁ ἑαυτῷ ἀσχολίας αἴτιος. πῶς οὐδεὶς ὑπ' ἄλλου ἐμποδίζεται. ὅτι πάντα ὑπόληψις. Ὅμοιον δ' εἶναι δεῖ ἐν τῇ τῶν δογμάτων χρήσει, παγκρατιαστῇ, οὐχὶ μονομαχῷ. ὁ μὲν γὰρ τὸ ξίφος ᾧ χρῆται, ἀγρυπνεῖται καὶ ἀναιρεῖται. ὁ δὲ τὴν χεῖρα ἀεὶ ἔχει, καὶ οὐδὲν ἄλλο ἢ συστρέψαι αὐτὴν δεῖ. τοιαῦτα τὰ πράγματα ὁρᾷν διαιροῦντα εἰς ὕλην, αἴτιον, ἀναφοράν. ἡλίκην ἐξουσίαν ἔχει ἄνθρωπος μὴ ποιεῖν ἄλλο, ἢ ὅπερ μέλλει ὁ θεὸς ἐπαινεῖν. καὶ δέχεσθαι πᾶν, ὃ ἂν νέμῃ αὐτῷ ὁ θεός. τὸ ἑξῆς τῇ φύσει, μήτε θεοῖς μεμπτέον. οὐδὲν γὰρ ἑκόντες ἢ ἄκοντες ἁμαρτάνουσι, μήτε ἀνθρώποις,

ὐδὲν γὰρ ὐχὶ ἄκοντος, ὥστε ὐδὲν μεμπτέον. πῶς γέλοιος καὶ ξένος ὁ θαυμάζων ὅπου τῆς οἰκείας βίφ γινομένων.

Ἦ ἀνάγκη ἐμμαρμένη, ἀπρόβατος τάξις, ἢ πρόνοια ἱλάσιμος ἢ φυρμὸς εἰ καὶ ὁτιοῦν ἀπερισκέπτως. εἰ μὲν ἀπροβάτου ἀνάγκη, τί ἀντιτένεις; εἰ δὲ πρόνοια ἐπιδεχομένη τὸ ἱλάσκεσθαι, ἄξιον αὐτὸν ποιεῖσθαι τῆς θείας βοηθείας. εἰ δὲ φυρμὸς ἀνηγεμόνευτος, ἀπολύου, ὅτι οὐ τοιούτῳ πηλύδριον αὐτὸς ἔχεις ἐν σαυτῷ πνεῦμα ἡγεμονικόν. κἂν τοιοῦτο σε ὁ πηλύδριον, παραφερέτω δ' σαρκίδιον τὸ πνευμάτιον τἆλλα· δύνασαι γὰρ νοῦν οὐ προίεσθαι. ἢ τὸ μὲν τῆς λύχνου φῶς μέχρι σβεσθῇ, φαίνει, ⊙ τῆ αὐγῇ δηλοῖ ἀκβαλλει· ἡ δὲ ἐν σοὶ ἀλήθεια καὶ δικαιοσύνη ⊙ σωφροσύνη, πρὸς τοσοῦτόν σοι τὸ φαντασίαν παρέχοντος ὅτι ἥμαρτε· τί δαὶ οἶδα εἰ ὄφελος ἁμάρτημα· εἰ δὲ καὶ ἥμαρτον, ὅπου κατέκεινον αὐτὸς ἑαυτόν. καὶ ὅτως ὀφθῆναι, τῆς καταδρύπτης τὴν ἑαυτῆς ὄψιν. ὅπου δὲ μὴ θέλων τὸν φαῦλον ἁμαρτάνειν, ὅμοιος τῷ μὴ θέλοντι τὴν συκῆν ὀπὸν ἐν τοῖς σύκοις φέρειν, ἢ τὰ βρέφη κλαυθμυρίζεσθαι, καὶ ὁ ἵππος χρεμετίζειν, καὶ ὅσα ἄλλα ἀναγκαῖα. τί γὰρ πάθῃ τὴν ἕξιν ἔχων τοιαύτην. Εἰ δὲ χρηστὸς εἶ, παύτην θεράπευσον. Εἰ μὴ καθήκει μὴ πρόξῃς. εἰ μὴ

εἰ μὴ ἀληθές ἐστι, μὴ εἴπης. ἡ γὰρ ὁρμή σου ἔστω, εἰς τὸ πᾶν ἀεὶ ὁρᾶν, τί ἐστιν αὐτὸ ἐκεῖνο τὸ τὴν φαντασίαν σοι ποιοῦν, καὶ ἀναπτύσσειν διαιροῦντα, εἰς τὸ αἴτιον, εἰς τὸ ὑλικὸν, εἰς τὴν ἀναφορὰν, εἰς τὸν χρόνον, ἐντὸς οὗ πεπαῦσθαι αὐτὸ δεήσει. Αἰσθου ποτέ, ὅτι κρεῖττόν τι καὶ δαιμονιώτερον ἔχεις ἐν σαυτῷ, τῶν τὰ πάθη ποιούντων, καὶ καθάπαξ τῶν νευροσπαστούντων σε· τί μου νῦν ἐστιν ἡ δάνοια. μὴ φόβος; μὴ ὑποψία; μὴ ἐπιθυμία; μὴ ἄλλό τι τοιοῦτον; Πρῶτον, τὸ μὴ εἰκῆ, μηδὲ ἄνευ ἀναφορᾶς. δεύτερον, τὸ μὴ ἐπ' ἄλλό τι, ἢ ἐπὶ τὸ κοινωνικὸν τέλος τῆς ἀναχωγὴν ποιεῖσθαι. ὅτι μετ' οὐ πολὺ, οὐδεὶς οὐδαμοῦ ἔσῃ, οὐδὲ τούτων τι ἃ νῦν βλέπεις, οὐδὲ τούτων τίς τῶν νῦν βιούντων. πάντα γὰρ μεταβάλλειν καὶ τρέπεσθαι καὶ φθείρεσθαι πέφυκεν, ἵνα ἕτερα ἐφεξῆς γίνηται. ὅτι πάντα ἡ ὑπόληψις· καὶ αὐτὴ ἐπί σοι. ἆρον οὖν ὅτε θέλεις τὴν ὑπόληψιν, καὶ ὥσπερ κάμψαντι τὴν ἄκραν γαλήνη, σταθερὰ πάντα, καὶ κόλπος ἀκύμων. μία καὶ ἡτισοῦν ἐνεργεία κατὰ καιρὸν παυσαμένη, οὐδὲν κακὸν πάσχει, καθὸ πέπαυται, οὐδὲ ὁ πράξας τὴν πρᾶξιν ταύτην, κατ' αὐτὸ τοῦτο, καθ' ὃ πέπαυται, κακόν τι πέπονθεν. ὁμοίως οὖν τὸ ἐκ πασῶν τὴν πράξεων σύστημα ὅπερ ἐστὶν ὁ βίος, ἐὰν ἐν καιρῷ παύσηται, οὐδὲν κακὸν πά-

ἀφ' ἑαυτοῦ τοῦτο, καθ' ὃ πέπαυται. ὁ δὲ ὅλος καιρὸς παύσας οὗ καιρῷ τὴν εἱρμὸν ἔσχεν, καθ' ὃν διετέθη. τὸ δὲ καιρόν, καὶ ὃν ὅρον δίδωσιν ἡ φύσις, ὥστε μὴν καὶ ἡ ἰδία, ὅταν ἐνήρᾳ, ὡσαύτως δὲ καὶ τῶν ὅλων. ἧς τὴν μερῶν μεταβαλλόντων, νεαρὸς ἀεὶ ὁ ἀκμαῖος ὁ σύμπας κόσμος διαμένει. καλὸν ὂν ἀεὶ ὧν καὶ ὡραῖον τὸ συμφέρον τῷ ὅλῳ. ἓν δὴ καὶ τὸ πάντων τὸ βίου, ἐκάστῳ οὐ κακὸν μὴν, ὅτι οὐδὲ αἰσχρόν. εἴπερ οὐ προαιρετὸν, οὐδὲ ἀκοινώνητον, ἀγαθὸν δὲ, εἴπερ τῷ ὅλῳ καιρεῖον, καὶ συμφέρον, καὶ συμφερόμενον. ὅτω γὰρ καὶ φοροφόρητος ὁ φερόμενος κατὰ ταὐτὰ θεῷ. οὐδὲ ταὐτὰ τῇ γνώμῃ φερόμενος. τεία ταῦτα δεῖ πρόχεφα ἔχειν, ὧδὶ μὲν ὧν ποιεῖς, εἰ μήτε εἰκῇ, μηδὲ ἄλλως ἢ ὡς αὐτὴ δίκη αὐτὴ ἀνήρησεν. ὧδὶ δὲ τὴν ἔξωθεν συμβαινόντων, ὅτι ἢ τὰ κατ' ἰδιοτυχίαν, ἢ κατὰ πρόνοιαν. ὅτε δὲ τῇ ἰδιοτυχίᾳ μεμπτέον ὅτε τῇ προνοίᾳ ἐγκλητέον. δεύτερον, δ' ὁποῖον ἕκαστον ἀπὸ στερήματος, μέχρι ψυχώσεως, καὶ ἀπὸ ψυχώσεως, μέχρι τοῦ τὸ ψυχὸν ἀπόδοναι, μὴ ἀξίον ἡ σύγκρισις, καὶ εἰς οἷα ἡ λύσις. τρίτον, εἰ ἄνω μετέωρος ἁρπασθεὶς κατασκόπει τὰ ἀνθρώπεια, καὶ τὸ πολυτροπίαν ὅση κατανόησας. ζωιδίων ἅμα, καὶ ὅσον τὸ πολιοικοῦν, φαυλείων καὶ ἀναθείων. μὴ ὅτι δυσάκις αὖ ἀχρ-

θῆς, ταὐτὰ ὄψει. τὸ ὁμοειδὲς, τοῦ ὀλιγοχρόνιον. ἐπὶ τούτοις, ὁ τύφος. Βάλε ἔξω τὴν ὑπόληψιν, σέσωται. τίς οὖν ὁ κωλύων ἐκβαλλειν; Ὅταν δυσφορῆς ἐπί τινι, ἐπελάθου τοῦ, ὅτι πάντα κατὰ τὴν τῶν ὅλων φύσιν γίνεται· καὶ τοῦ, ὅτι τὸ ἁμαρτανόμενον ἀλλότριον. καὶ ἐπὶ τούτοις τοῦ, ὅτι πᾶν τὸ γινόμενον οὕτως ἀεὶ ἐγίνετο, καὶ γενήσεται καὶ νῦν παντα χοῦ γίνεται. τοῦ, ὅση ἡ συγγένεια ἀνθρώπου πρὸς πᾶν τὸ ἀνθρώπειον γένος. οὐ γὰρ αἱματίου, ἢ σπερματίου, ἀλλὰ νοῦ κοινωνία. ἐπελάθου δὲ καὶ τοῦ, ὅτι ὁ ἑκάστου νοῦς θεὸς, καὶ ἐκεῖθεν ἐῤῥύηκε. τοῦ, ὅτι οὐδὲν ἴδιον οὐδενὸς· ἀλλὰ καὶ τὸ τεκνίον, καὶ τὸ σωματιον, καὶ αὐτὸ τὸ ψυχάριον ἐκεῖθεν ἐλήλυθεν. τοῦ, ὅτι πάντ' ὑπόληψις. τοῦ, ὅτι τὸ πρὸν μόνον ἕκαστος ζῇ, καὶ τοῦτο ἀφαιρεῖται. συνεχῶς ἀναπολεῖν, τοὺς ἐπί τινι λίαν ἀγανακτήσαντας, τοὺς ἐν μεγίσταις δόξαις, ἢ συμφοραῖς, ἢ ἔχθραις, ἢ ὁποιαισοῦν τύχαις ἀκμάσαντας. εἶτα ἐφιστάνειν, ποῦ νῦν πάντα ἐκεῖνα; καπνὸς, καὶ σποδός, καὶ μῦθος, ἢ οὐ δὲ μῦθος. συμπροσπιπτέτω δὲ καὶ τὸ τοιοῦτο πᾶν, οἷον, Φάβιος Κατουλλῖνος ἐπ' ἀγροῦ. ⊂ Λούσιος Λοῦπος, καὶ Στερτίνιος ἐν Βαΐαις, καὶ Τιβέριος ἐν Καπρίαις, καὶ Οὐήλιος Ροῦφος, καὶ ὅλως ἡ πρὸς ὁτιοῦν μετ' οἰήσεως διαφορὰ. καὶ ὡς

εὐτελὲς πᾶν τὸ κατεντεινόμενον. Ὁ ὅσῳ φιλο-
σοφώτερον τὴν ἐπὶ τῆς δοθείσης ὕλης ἑαυτὸν δί-
καιον, σώφρονα, θεοῖς ἑπόμενον ἀφελῶς πρέ-
χειν. ὁ γὰρ ὑπὸ ἀτυφίᾳ τῦφος τυφόμενος
πάντων χαλεπώτατος. Πρὸς τοὺς ἐπιζητοῦντας,
ποῦ γὰρ ἰδὼν τοὺς θεοὺς, ἢ πόθεν κατειληφὼς ὅτι
εἰσὶν οὕτω σέβεις· πρῶτον μὲν καὶ ὄψει ὁρατοί
εἰσιν· ἔπειτα μέντοι οὐδὲ τὴν ψυχὴν τὴν ἐμαυ-
τοῦ ἑώρακα, καὶ ὅμως τιμῶ. οὕτως οὖν καὶ τοὺς
θεοὺς, ἐξ ὧν τῆς δυναμέως αὐτῶν ἑκάστοτε πει-
ρῶμαι, ἐκ τούτων ὅτι τέ εἰσι καταλαμβάνω, καὶ
αἰδοῦμαι. Σωτηρία βίου, ἕκαστον δι' ὅλου αὐ-
τὸ τί ἐστιν ὁρᾷν. τί μὲν αὐτοῦ τὸ ὑλικὸν, τί δαὶ τὸ
αἰτιῶδες. ἐξ ὅλης τῆς ψυχῆς τὰ δίκαια ποι-
εῖν, καὶ τἀληθῆ λέγειν. τί λοιπὸς, ἢ ἀπο-
λαύειν τῶν ζῆν συνάπτοντα ἄλλο ἐπ' ἄλλῳ ἀγα-
θὸν, ὥστε μηδὲ τὸ βραχύτατον διάστημα ἀπο-
λείπειν. Ἓν φῶς ἡλίου κἂν διείργηται τοίχοις,
ὄρεσιν, ἄλλοις μυρίοις, μία οὐσία κοινή, κἂν διεί-
ργηται ἰδίως ποιοῖς σώμασι μυρίοις. μία ψυ-
χὴ, κἂν φύσεσι διείργηται μυρίαις, καὶ ἰδίαις
